



1817
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
SI QUÆRIS PENINSULAM AMŒNAM
CIRCUMSPICE

NOTICES ET EXTRAITS

DES

MANUSCRITS

DE LA BIBLIOTHÈQUE NATIONALE

ET AUTRES BIBLIOTHÈQUES.

NOTICES ET EXTRAITS

DES

MANUSCRITS

DE LA BIBLIOTHÈQUE NATIONALE

ET AUTRES BIBLIOTHÈQUES,

PUBLIÉS PAR L'INSTITUT NATIONAL DE FRANCE,

FAISANT SUITE

AUX NOTICES ET EXTRAITS LUS AU COMITÉ ÉTABLI DANS L'ACADÉMIE
DES INSCRIPTIONS ET BELLES-LETTRES.

TOME VINGT-CINQUIÈME.



PARIS.

IMPRIMERIE NATIONALE.

M DCCC LXXV.

DEUXIÈME PARTIE.

NOTICES ET EXTRAITS

DES

MANUSCRITS

DE LA BIBLIOTHÈQUE NATIONALE

ET AUTRES BIBLIOTHÈQUES.

ALEXANDRE D'APHRODISIAS.

COMMENTAIRE

SUR LE TRAITÉ D'ARISTOTE *DE SENSU ET SENSIBILI*,

ÉDITÉ AVEC LA VIEILLE TRADUCTION LATINE,

PAR CHARLES THUROT.

Le commentaire d'Alexandre d'Aphrodisias sur le traité d'Aristote *de Sensu et sensibili* n'a encore eu qu'une édition, la suivante : « Simplicii commentaria in tres libros de anima. Alexandri Aphrodisei commentaria in librum de sensu et sensibili. Michaelis Ephesii annotationes in librum de memoria et reminiscentia. Venetiis, in ædibus Aldi et Andreæ Asulani soceri, anno MDXXVII, f°. » Nous allons expliquer comment cet ouvrage doit pourtant être considéré comme inédit; car imprimer un texte n'est pas toujours l'éditer.

Le commentaire d'Alexandre nous est parvenu par deux manuscrits, l'un offrant un texte assez correct, l'autre inintelligible par la multitude des fautes et en particulier des omissions et des lacunes. Du premier sont dérivés trois manuscrits, dont l'un est représenté par une vieille traduction latine que nous a conservée le manuscrit de la Bibliothèque nationale, 14714 (*olim* Saint-Victor, 563), fol. 97-116, écrit au XIVe siècle (je le désigne par la lettre T); l'autre, par les annotations et les corrections faites, d'une écriture du XVIIe siècle, à l'exemplaire de l'édition d'Alde qui se trouve à la Bibliothèque nationale sous la cote R 109.[1] (je le désigne par M); le troisième, par une copie faite au XVIe siècle dont il ne reste qu'un peu plus de la moitié (à partir de *δείξει ἀλλ' οὐ χυμὸς τοῦτο*, 441 b 23-27) dans le manuscrit de la Bibliothèque nationale 1924 (je le désigne par D). De l'autre manuscrit, du manuscrit incorrect, sont dérivés trois manuscrits, deux qui se trouvent à la Bibliothèque nationale, l'un meilleur, 1921, XIVe siècle (je le désigne par la lettre B), l'autre beaucoup plus mauvais, 1882, XVe siècle (je le désigne par la lettre C), et presque identique au troisième, qui est reproduit par l'édition d'Alde (je la désigne par la lettre A). La traduction latine de Lucillus Philalthæus a été faite sur l'édition d'Alde, dont le texte est interprété très-librement; elle a été publiée sous le titre suivant : « Opusculum Aristotelis de sensibus atque de his quæ cadunt in sensum vel de sensuum instrumentis Alexandrique Aphrodisiei commentarium non antea e Græco in Latinum conversum Lucillus Philalthæus vertebat. Michaelis Ephesii scholia in Aristotelis libros aliquot. Venetiis, apud Hieronymum Scotum, 1544, f°. » Cette traduction, seul travail dont le commentaire d'Alexandre ait été jusqu'ici l'objet, ne peut servir en rien à la critique. Je donnerai plus de détails sur les manuscrits dans la dissertation qui est à la fin du volume.

J'indique par trois astérisques les lacunes que j'ai cru trouver, soit dans le grec, soit dans le latin. Je place une croix devant le mot ou devant le premier et le dernier d'un groupe de mots qui me semble altéré. Dans le latin, j'ai restitué au moyen du grec ce qui me sem-

blait altéré, en mettant au bas de la page la leçon du manuscrit. J'ai évalué les blancs que l'on trouve dans TABCD au moyen du nombre de lettres que chacun de ces manuscrits y fait tenir. Dans le texte latin et dans le texte grec, les blancs sont indiqués par autant de points qu'ils contiennent de lettres. Les abréviations signifient : *om.*, *omisit* ou *omiserunt* (le groupe de mots omis est indiqué par le premier et le dernier mot, séparés par trois points), *add.*, *addit*, *del.*, *delet*, *pr.*, *prima manu; post*, transposition après un mot suivant, *ante*, transposition avant un mot précédent. Je renvoie au texte d'Aristote par la page, la colonne et la ligne de l'édition de Bekker (in-4°, 1831). Les chiffres romains indiquent les sections entre lesquelles Alexandre semble avoir partagé lui-même le texte d'Aristote.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

ΕΙΣ ΤΟ

ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΣ ΚΑΙ ΑΙΣΘΗΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

[ΒΙΒΛΙΟΝ[1] ΠΡΩΤΟΝ.]

Εἰπὼν ἐν τοῖς περὶ ψυχῆς περί τε ψυχῆς τῆς συμπάσης[2] κοινῶς καὶ καθόλου καὶ ἰδίᾳ περὶ ἑκάστης τῶν δυνάμεων αὐτῆς, πόσαι τέ εἰσι καὶ τίνες καὶ ἐν τίνι[3] † ἑκάστων[4] αὐτῶν τὸ εἶναι, ἐν † οἷς[5] καὶ περὶ τῆς αἰσθητικῆς δυνάμεως ποιησάμενος τὸν[6] λόγον, καὶ τίς τέ ἐστιν εἰπὼν καὶ εἰς πόσας αἰσθήσεις διαιρεῖται, καὶ ἰδίᾳ περὶ ἑκάστης τῶν αἰσθήσεων διεξελθὼν καὶ εἰπὼν τίς μὲν ἡ δύναμις αὐτῶν ἑκάστης, ἀφ' ἧς τὸ αἰσθά-

[1] J'ajoute ces mots qui manquent dans B. **ΑΛΕΞΑΝΔΡΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΠΕΡΙ ΑΙΣΘΗΣΕΩΣ ΚΑΙ ΑΙΣΘΗΤΩΝ** dans AMC. — [2] *ἐμπάσης* A. — [3] *τῆς* A. *οἷς* M. — [4] *ἑκάστω* B. Lisez *ἑκαστῃ*. — [5] *αἷς* ABC. Le relatif reste suspendu. — [6] *τὸν λόγον* om. ABC.

[ALEXANDRI[1] APHRODISIEI

IN LIBRO ARISTOTELIS *DE SENSIBUS ET SENSIBILIBUS*

PRIMUS LIBER.]

Cum dixisset in hiis que de anima de anima omni in communi et universaliter, et singulariter de qualibet potentiarum ipsius, et quot sunt et que et in quo unaqueque secundum ipsarum esse, inter que et de sensitiva potentia cum fecisset sermonem et que est dixisset et in quot sensus dividitur, et singulariter de unoquoque sensuum percurrisset et dixisset que ipsorum uniuscuiusque potentia a qua

[1] Tout ce titre est omis.

νεσθαι, τίς δὲ ἡ ἐνέργεια καὶ περὶ τί, ποιησάμενος δὲ καὶ περὶ τοῦ καθ' ἑκάστην αἴσθησιν αἰσθητοῦ λόγον, ἐφ' ὅσον ἦν χρήσιμον[1] *αὐτῷ πρὸς τὴν τῶν αἰσθήσεων ἐνέργειαν, ἐν τούτῳ τῷ βιβλίῳ περί τε τῶν αἰσθητηρίων λέγει τί τὸ αἰσθητήριον ἑκάστης αἰσθήσεως καὶ ἐκ τίνος, ἐπεὶ μὴ οἷόν τε ἦν ἄνευ αἰσθητηρίου αἰσθάνεσθαι (διὰ γὰρ σώματος ἡ τῆς αἰσθητικῆς ψυχῆς ἐνέργεια, ὥσπερ οὖν καὶ αἱ τῶν ἄλλων ἢ τῶν γε πλείστων ἀεί), ἔτι δὲ*[2] *περὶ τῶν αἰσθητῶν, τί τὸ*[3] *ἑκάστῃ αἰσθήσει αἰσθητόν, καὶ τίνι ὄντι αὐτῷ κατὰ τὴν οἰκείαν φύσιν τὸ*[4] *αἰσθητῷ εἶναι ὑπάρχει, ἐπεὶ μὴ ταὐτὸν τοῖς αἰσθητοῖς τό τε εἶναι καὶ τὸ*[5] *αἰσθητῷ εἶναι, ἦν δὲ εἰρημένον αὐτῷ περὶ αὐτῶν ὡς περὶ αἰσθητῶν. Δηλοῖ δὲ καὶ ἡ ἐπιγραφὴ τοῦ βιβλίου τὴν πρόθεσιν τῆς κατ' αὐτὸ πραγματείας. Λέγων δὲ περὶ αἰσθητηρίων τε καὶ αἰσθητῶν ἐν αὐτῷ, περὶ αἰσθήσεως καὶ αἰσθητῶν ἐπέγραψεν αὐτό, ὡς καὶ τοῦ περὶ τῶν αἰσθητηρίων λόγου εἰς τὴν περὶ τῶν αἰσθήσεων*[6] *συντελοῦντος θεωρίαν (κοινὴ γὰρ ἡ αἴσθησις ψυχῆς καὶ σώματος), ἢ « αἰσθήσεων » ἀντὶ τοῦ « αἰσθητηρίων*[7] *»*

[1] *χρήσιμος* AMBC. — [2] *τε* AMBC. — [3] *τῷ* AC. — [4] *τῷ* M. — [5] *τὸ αἰσθητῷ*] *τοῖς αἰσθητοῖς* M. *αἰσθητοῖς* ABC. — [6] *αἰσθητῶν* AC. — [7] *αἰσθητηρίου* ABC.

---

ipsum sentire et que operatio et circa quid, et cum fecisset sermonem de sensibili circa unumquemque sensum, quantum oportunum erat ipsi ad sensuum actum, in hoc libro de sensitivis dicit, quid sensitivum uniuscuiusque sensus et ex quo, quoniam non est possibile sine sensitivo sentire (per corpus enim sensitive anime operatio, quemadmodum et omnium aliarum aut plurium semper), adhuc autem de sensibilibus, quid unicuique sensui sensibile et quali existenti ipsi secundum propriam naturam sensibile esse existit, quoniam non idem sensibile esse et sensibili esse, erat autem dictum ab ipso de ipsis tamquam de sensibus. Declarat autem et inscriptio libri propositum negocii secundum se. Dicens autem de sensitivis et sensibilibus in ipso, de sensu et sensibilibus inscripsit ipsum, tamquam sermone de sensitivis conferente ad eam que de sensibus theoriam (communis enim sensus et anime et corporis) : vel « sensibus » pro « sensitivis » (sensus enim

(αἰσθήσεις γὰρ καὶ τὰ αἰσθητήρια καλοῦσιν). Ἀρχόμενος δὲ τοῦ βιβλίου, ὅτι ἔστιν †ἀκόλουθον[1] τῇ περὶ ψυχῆς θεωρίᾳ πρῶτον λέγει[2] ἥ τε περὶ τῶν ζώων καὶ τῶν ἐμψύχων πάντων καὶ ἡ περὶ τῶν ἐνεργειῶν αὐτῶν τῶν τε κοινῶν καὶ τῶν ἰδίων καθ' ἕκαστον εἶδος αὐτῶν· ἀρχὴ γὰρ τῶν ἐμψύχων ἁπάντων ἡ ψυχή. Λέγει δὲ καὶ τίνες μὲν αὐτῶν[3] κοιναί, τίνες δὲ ἴδιαι. Τοῦ[4] δὲ περὶ τῶν τῆς ψυχῆς ἐνεργειῶν λέγοντα εὔλογον λέγειν περὶ τῶν ἐνεργειῶν τῶν τε ζώων καὶ τῶν ζωὴν ἐχόντων αἰτίαν ἀποδέδωκε, τὴν ὅτι αἱ ἐνέργειαι αὐτῶν αἵ τε κοιναὶ καὶ αἱ καθ' ἕκαστον ἴδιοι σχεδὸν πᾶσαι κοιναὶ τῆς τε ψυχῆς καὶ τοῦ σώματος· δι' οὗ καὶ αὐτοῦ βεβαιοῦται τὸ ἐντελέχειαν εἶναι τὴν ψυχὴν σώματος φυσικοῦ ὀργανικοῦ. Πίστιν δὲ παραθέμενος τοῦ τὰς τῶν ἐμψύχων ἐνεργείας[5] κοινὰς εἶναι ψυχῆς καὶ σώματος τὸ[6] πάσας ἢ[7] δι' αἰσθήσεως ἢ μετ' αἰσθήσεως γίνεσθαι, ὅτι ἡ αἴσθησις καὶ ἡ κατ' αὐτὴν ἐνέργεια κοινὴ

[1] Lisez ἀκόλουθος. — [2] λέγῃ A. λέγει ὅτι M. — [3] αὐτῷ AMC. — [4] τὸν AMC. — [5] om. ABC. — [6] τῷ M. — [7] om. AMBC.

---

et sensitiva vocantur[1]). Incipiens autem librum, quod est consequens ei que de anima theoria primo dicit, quia de animalibus et animatis omnibus et de operationibus ipsorum communibusque*** propriis secundum unamquamque speciem ipsorum; principium enim animam habentium omnium anima. Dicit autem et que ipsorum communes et que proprie. Quare autem dicentem de anime operationibus rationabile dicere de operationibus et animalium et vitam habentium, causam assignavit, scilicet quia operationes ipsorum et communes et proprie per singula fere omnes sunt communes anime et corporis; et per hoc ipsum confirmatur animam esse actum corporis phisici organici. Persuasionem autem proponens[2] huius quod animatorum operationes communes sunt anime et corporis omnes, sive per sensum sive cum sensu fiant, quod sensus et secundum ipsum communis operatio anime et corporis velut manifestum assumens, ratio-

[1] vocatur. — [2] propositiones.

ALEXANDRE D'APHRODISIAS.

436 a 1-5.

ψυχῆς τε καὶ σώματος ὡς ἐναργὲς λαϐὼν, εὐλόγως τοῦ περὶ τῶν αἰσθητηρίων ἄρχεται λόγου, ἐπειδὴ φθάνει μὲν εἰρῆσθαι αὐτῷ ὁ περὶ τῆς[1] αἰσθητικῆς ψυχῆς λόγος, κοινὴ δὲ ἥ τε αἴσθησις καὶ ἡ κατ' αὐτὴν ἐνέργεια ψυχῆς τε καὶ σώματος, ἔδει δὲ τὸν περὶ τῶν κοινῶν[2] λέγοντα πρῶτον περὶ αἰσθήσεως λέγειν· κοινοτάτη γὰρ αὕτη πᾶσι τοῖς ζῴοις καὶ φανερωτάτη τῶν[3] κατὰ ψυχὴν ἐνεργειῶν.

I. 436 a 1-5. « Ἐπεὶ...αὐτῶν. » Ἀρχόμενος τοῦ βιϐλίου, ὅτι ἀκόλουθος ἡ ἐν αὐτῷ πραγματεία τῇ περὶ ψυχῆς δείκνυσιν, ὡς εἰπών[4] · ἀκόλουθος μὲν γὰρ τῷ περὶ ψυχῆς λόγῳ ὁ περὶ τῶν ζῴων τε καὶ ψυχὴν ἐχόντων λόγος καὶ[5] περὶ τῶν ἐνεργειῶν τῶν[6] τούτων τῶν τε ἰδίων[7] καθ' ἕκαστον εἶδος τῶν ζῴων καὶ τῶν κοινῶν. Αἱ δὲ ἐνέργειαι αὐτοῖς οὐκ ἄνευ σώματος· δι'[8] αἰσθήσεως γὰρ αἱ πλεῖσται σχεδόν, ἡ[9] δ' αἴσθησις κοινὴ ψυχῆς

[1] τῆς αἰσθητικῆς] om. AC. αἰσθητικῆς om. B. αἰσθητῶν M. — [2] αἰσθητῶν add. ABC. — [3] ὧν A. — [4] εἶπον ABC. — [5] καὶ περὶ om. ABC. — [6] om. ABC. — [7] καὶ add. AC. — [8] δι' αἰσθήσεως... σώματος om. ABC. δι'... γὰρ] διὰ γὰρ σώματος M. — [9] ἡ δ' om. M.

---

nabiliter incipit sermonem de sensitivis, quoniam predictus quidem fuerat[1] ab ipso de sensitiva anima sermo, communis autem sensus et que secundum ipsum operatio anime et corporis, oportebat autem dicentem de communibus primo de sensu dicere; communissimus enim hic omnibus animalibus et manifestissimus earum que secundum animam operationum.

I. 436 a 1-5.] « Quoniam autem de animaque secundum se determinatum est et de potentiis uniuscuiusque secundum partem ipsius. » Incipiens librum, quod sit quod in ipso negocium*** ei que de anima, ostendit, tamquam diceret : consequens quidem sermonem*** qui de animalibus et animam habentibus sermo et de operationibus horum et propriarum secundum unamquamque speciem animalium et communium. Operationes autem ipsis non sine corpore; per sensum enim

[1] sumat.

ALEXANDRE D'APHRODISIAS.

436 a 1-4.

τε καὶ σώματος. (436 a 1-4. « Ἐπεὶ... ἁπάντων. ») Καθ' αὑτήν[1] δὲ εἶπε περὶ ψυχῆς διωρίσθαι[2] ἀντὶ τοῦ †ἰδίᾳ[3] τε †καὶ κοινῶς καὶ καθόλου περὶ ὅλης ψυχῆς, καὶ***[4] ἰδίᾳ περὶ μορίων τε καὶ δυνάμεως αὐτῆς ἑκάστης. Ἐν γὰρ τοῖς περὶ ψυχῆς πρῶτον μὲν καθόλου[5] περὶ ψυχῆς ἐποιήσατο τὸν λόγον καὶ ὡρίσατο αὐτήν, ὡς ἦν οἷόν τε τὰ ἔχοντα[6] ἐν αὐτοῖς[7] τὸ μὲν[8] πρῶτον καὶ ἀτελέστερον[9] τὸ δὲ δεύτερον καὶ τελειότερον ὁρίσασθαι· ἔπειτα περὶ ἑκάστης τῶν δυνάμεων διεξῆλθε, περὶ τῆς θρεπτικῆς καὶ[10] περὶ τῆς αἰσθητικῆς καὶ[11] περὶ τῆς φανταστικῆς καὶ[12] περὶ τῶν ἄλλων ἑκάστης[13]. Ἢ[14] περὶ ψυχῆς καθ' αὑτό, ὅτι μὴ καὶ περὶ τοῦ σώματος, σὺν ᾧ τῇ ψυχῇ καὶ τὸ εἶναι· διὰ τοῦτο γὰρ νῦν περὶ τῶν αἰσθητηρίων ἐρεῖ. Εἰπὼν δὲ περὶ τῶν ζῴων ἑπόμενον εἶναι τὴν ἐπίσκεψιν ποιήσασθαι, προσέθηκε[15] καὶ « περὶ τῶν ζωὴν ἐχόντων, » ὅτι μὴ πάντα τὰ †ψυχὴν[16] ἔχοντα ζῷα, εἴ γε ὥρισται τὸ ζῷον, ὡς ἐν τοῖς περὶ ψυχῆς[17] εἴρηται,

[1] ἑαυτὴν AM. — [2] διώρισται ABC. — [3] ἰδίᾳ τε καὶ devrait être supprimé. — [4] Il manque sans doute κατὰ μόριον ἀντὶ τοῦ. — [5] om. AMBC. — [6] ἐχόμενα AMBC. — [7] αὐτοῖς AMBC. τῷ add. M. — [8] τι add. ABC. — [9] ἀτέλευτον ABC. — [10-11-12] καὶ om. ABC. — [13] ἑκάστων ABC. — [14] καὶ add. ABC. — [15] τὸ add. B. τί add. AMC. — [16] Lisez ζωήν. — [17] II, 2, 413 b 1.

---

plurime fere; sensus autem communis anime et corporis. (436 a 1-4.) Secundum se autem dixit de anima determinatum esse pro hoc scilicet singulariter et communiter et universaliter de tota anima et sigillatim de partibus et potentiis ipsius uniuscuiusque. In hiis enim que de anima primo quidem universaliter de anima fecit sermonem, et diffinivit eam, ut erat possibile diffinire ea que habent in ipsis primum et inperfectius et secundum et perfectius, deinde de unaquaque potentiarum pertransiens, de nutritiva et de sensitiva et de fantastica et de unaquaque aliarum. Aut de anima secundum se, quia non de corpore, cum quo est anime esse; propter hoc enim nunc de sensitivis dicet. Dicens autem consequens esse de animalibus considerationem facere, apposuit et « de vitam habentibus, » quia non omnia que animam habent sunt animalia, si vero determinatum[1] est animal, ut

[1] determinatum est] determinat.

αἰσθήσει. Ἡ δὲ θρεπτικὴ ψυχὴ πρὸ τῆς αἰσθητικῆς οὖσα ἐν οἷς ἔστι μόνη, ταῦτα ἔμψυχα μέν ἐστι καὶ ζωὴν ἔχει, οὐ μὴν καὶ ζῷά ἐστιν, ὁποῖά ἐστι τὰ φυτά. Λέγοι[1] δ' ἂν καὶ[2] ζωὴν ἔχειν καὶ τὰ μόρια τῶν ζῴων. (436 a 4-5 « τίνες... αὐτῶν ») Τίς δὲ ἡ περί τε τῶν ζῴων καὶ ἡ περὶ τῶν ζωὴν ἐχόντων πραγματεία, ἔδειξε διὰ τοῦ εἰπεῖν τίνες εἰσὶν ἴδιαι καὶ τίνες κοιναὶ πράξεις αὐτῶν. Εἴη δ' ἂν τὸ τίνες εἰσὶ κοιναὶ καὶ τίνες[3] ἴδιαι ἴσον τῷ περὶ τῶν ἰδίων καὶ τῶν[4] κοινῶν. Οὐ γὰρ διαίρεσιν αὐτῶν προτίθεται ποιήσασθαι, ἀλλ'[5] εἰπεῖν περὶ αὐτῶν. Τῷ δὲ τῆς πράξεως ὀνόματι καὶ[6] νῦν, ὥσπερ οὖν καὶ ἐν ἄλλοις εἴωθε, κοινότερον ἀντὶ τοῦ τῆς ἐνεργείας κέχρηται. Κυρίως γὰρ πρᾶξις λογικὴ ἐνέργειά ἐστιν, ἧς οὐδὲν τῶν ἀλόγων οἷόν τε κοινωνεῖν.

II. 436 a 5-b 8. « Τὰ μὲν οὖν... χωρίς. » Εἰρηκὼς ἀκολουθεῖν τοῖς περὶ ψυχῆς εἰρημένοις τὴν περί τε ζῴων καὶ τῶν ζωὴν ἐχόντων θεωρίαν (ἑκάστου δὲ τούτων δύναμις καὶ εἶδος ἡ ψυχή), καὶ διελὼν τὸν περὶ

[1] λέγει AMC. — [2] εἰσὶν add. AMC. — [3] om. AC. — [4] om. AMC. — [5] δεῖ A. οὐδὲ δεῖ M. — [6] καὶ νῦν om. ABC.

---

in hiis que de anima dictum est, sensu. Nutritiva autem anima ante[1] sensitivam existens in quibus est sola, hec animata[2] quidem sunt et vitam habent, non tamen et animalia sunt, qualia sunt plante. Dicet autem utique vitam habere et partes animalium. (436 a 4-5.) Quale autem quod de animalibus et vitam habentibus negocium ostendit per hoc quod dicit que sunt proprie et que communes*** equipollens huic de propriis et communibus. Non enim divisionem ipsarum proponit facere, sed dicere de ipsis. Nomine autem praxeos et nunc, sicut et in aliis, consuevit communius[3] pro operatione uti. Proprie enim praxis[4] rationalis[5] operatio est, qua nullum irrationabilium possibile est participare.

II. 436 a 5-b 8.] « Dicta quidem igitur de anima. » Cum dixisset*** de animalibus et vitam habentibus theoriam (uniuscuiusque autem horum potentia et species anima), et divisisset sermonem de hiis in

[1] aut. — [2] anima. — [3] communis. — [4] pinxis. — [5] ratio vel.

τούτων λόγον εἴς τε τὰς κοινὰς ἐνεργείας[1] καὶ εἰς τὰς ἰδίους[2], περὶ τῶν κοινῶν πρῶτον ἐνεργειῶν ἢ πάντων τῶν ἐμψύχων ἢ τῶν γε πλείστων ποιήσεται λόγον[3], καὶ μετὰ τοῦτο περὶ τῶν ἰδίων ἐνεργειῶν ἑκάστου εἴδους ἐρεῖ ζώων[4], πρῶτον περὶ ζώων ἱστορήσας (χρήσιμος γὰρ ἡ περὶ ζώων ἱστορία καὶ διαίρεσις πρὸς τὰς ἰδίας ἐνεργείας ἑκάστου τε εἴδους ζώων καὶ τῶν μορίων αὐτῶν). Αἱ γὰρ κοιναὶ τῶν ἐμψύχων ἐνέργειαι συνάπτουσί πως τῷ κοινῷ περὶ ψυχῆς λόγῳ. Τίνες δέ εἰσιν αὗται ἑξῆς ἐρεῖ. (436 a 5-6 « Τὰ μὲν... πρώτων ») Ὅσα, φησίν, ἡμῖν περὶ ψυχῆς εἴρηται, ταῦτα κείσθω ὡς ἀρχαὶ τῶν μελλόντων λέγεσθαι. Ὑποθέσεις γὰρ ἔθος τοῖς ἀνδράσι τὰς ἀρχὰς λέγειν τὰς ἀναποδείκτους, ἃς[5] καὶ ἀξιώματα λέγουσιν. Ὑποθέσεις δὲ λέγουσι καὶ ἃ ἔχοντα ἀπόδειξιν χωρὶς τῆς οἰκείας ἀποδείξεως λαμβάνουσί τε καὶ ὑποτίθενται, ὡς δείξοντες αὐτὰ ὕστερον, †χρησάμενοι[6] δὲ αὐτοῖς νῦν πρὸς ἄλλα ὡς[7] ἀρχαῖς. Τὰ

[1] αὐτῶν add. ABC. — [2] ἰδίου A. — [3] om. AMBC. — [4] ζώου ABC. — [5] αἱ A. — [6] Lisez χρησόμενοι. — [7] ὡς ἀρχαῖς. Τὰ] ἐξ ἀρχῆς AMBC.

---

communes operationes ipsorum et in proprias, primo de communibus operationibus aut omnium animatorum aut plurium faciet sermonem, et post hunc de propriis operationibus uniuscuiusque speciei animalium dicet, primo de animalibus hystorizans (utilis enim de animalibus hystoria et divisio ad proprias operationes uniuscuiusque speciei animalium et partium ipsorum). Communes enim animatorum operationes copulantur aliqualiter sermoni de anima in communi. Que autem sunt iste consequenter dicet. (436 a 5-6.) Quecumque, inquit, nobis de anima dicta sunt, hec supponantur tamquam principia dicendorum. Suppositiones enim consuetudo viris principia dicere indemonstrabilia, que et dignitates dicunt. Suppositiones autem dicunt et que habentia demonstrationem sine propria demonstratione accipiunt et supponuntur, tamquam demonstraturi[1] ipsas posterius, utentes autem ipsis nunc ad alia tamquam principio. Ait : « igitur

[1] demonstratur.

οὖν, φησιν, εἰρημένα[1] τε καὶ ἀποδεδειγμένα[2] νῦν ὡς ὑποθέσεις καὶ ἀρχαὶ[3] τῶν μελλόντων λέγεσθαι κείσθωσαν. Φθάνει γὰρ δεδεῖχθαι, καὶ οὐκέτι περὶ ἐκείνων νῦν ποιήσεται τὸν λόγον.

436 a 6-8. « Φαίνεται... σώματος. » Ὅτι δὲ περὶ ὧν προέθετο ὡς ἑπομένων τῇ περὶ ψυχῆς θεωρίᾳ εἰπεῖν λέγει, τοῦτο δέ ἐστι τὸ περὶ τῶν ἐνεργειῶν τῶν ζῴων τίνες τέ[4] εἰσι καὶ διὰ τί γίνονται θεωρῆσαι, ἀλλ' οὐ προθέμενος περὶ ζῴων λέγειν πρῶτον περὶ ἄλλων τινῶν τὸν λόγον ποιεῖται, ὥς τινες ᾠήθησαν, νῦν δὲ περὶ αἰσθητηρίων τε καὶ αἰσθητῶν, λέγων μετὰ ταῦτα περὶ ζωῆς τε καὶ θανατοῦ καὶ ὕπνου καὶ ἐγρηγόρσεως καὶ τῆς καθ' ὕπνον μαντικῆς, εἶθ' ὕστερον περὶ ζῴων, ἀλλὰ καὶ ταῦτα τῆς προτεθείσης ἔχεται πραγματείας (ἔστι γὰρ τῶν κοινῶν τὰ μὲν τοῖς ζῴοις πᾶσι, τὰ δέ καὶ τοῖς ζωὴν ἔχουσιν ὑπάρχοντα), αὐτὸς ἐδήλωσε δι' ὧν ἐπιφέρει. Εἰπὼν γὰρ « τὰ μὲν εἰρημένα περὶ ψυχῆς ὑποκείσθω, περὶ δὲ τῶν λοιπῶν, » φησι « λέγωμεν καὶ

[1] εἰρημένον AMBC. — [2] ἀποδεδειγμένον AMC. δεδειγμένον B. — [3] ἀρχὰς AC. — [4] om. B.

---

dicta et ostensa nunc ut suppositiones et principia dicendorum ponantur. » Preostendit enim, et non amplius de illis nunc faciet sermonem.

436 a 6-8.] Quia autem de quibus proposuit dicere tamquam de consequentibus considerationem de anima dicit, hoc est de operationibus animalium que sunt et propter quid fiunt considerare, sed non proponens[1] de animalibus dicere, primo de aliis[2] quibusdam sermonem facit, sicut quidam putaverunt, nunc quidem de sensitivis et sensibilibus, dicens post hoc de vita et morte et sompno et vigilia et per sompnum divinativa[3], deinde postremo de animalibus. Quin ymo hec consequentia sunt propositi negocii. Sunt enim communium hec quidem inexistentia animalibus omnibus, hec autem et vitam habentibus. Quod ipse ostendit per ea que infert. Dicens enim « Dicta quidem de anima supponantur, de reliquis autem » ait « dica-

[1] propositiones. — [2] de *add.* — [3] derivativa.

ϖρῶτον ϖερὶ τῶν ϖρώτων,» εἰπὼν ἐπιφέρει· «φαίνεται δὲ τὰ μέγισΊα καὶ τὰ κοινὰ καὶ τὰ ἴδια τῶν ζώων κοινὰ τῆς τε ψυχῆς ὄντα καὶ τοῦ σώματος.» Ἔσ7ι δὲ ὃ λέγει ὅτι τὰ μὲν μέγισΊα τῶν κατὰ τὰς τῶν[1] *ζώων ἐνεργείας τάς τε κοινὰς αὐτῶν καὶ τὰς ἰδίας ἑκάσΊου*[2] *γένους φαίνεται εἶναι κοινὰ ψυχῆς τε καὶ σώματος, καὶ οὐ τῆς ψυχῆς αὐτῆς καθ' αὑτήν. Δείκνυσί*[3] *τε ἡμῖν ὅτι καὶ τὴν ϖερὶ αὐτῶν Θεωρίαν οὕτω χρὴ ϖοιεῖσθαι, συνεπισκεπΊομένους*[4] *καὶ τὰ*[5] *τοῦ σώματος μόρια*[6] *ἐν οἷς καὶ δι' ὧν αἱ τῶν ψυχὴν ἐχόντων ἐνέργειαι. Ὅτι δὲ αἱ ϖλεῖσΊαι τῶν ψυχικῶν ἐνεργειῶν διὰ σώματος καὶ ἐν τοῖς ϖερὶ ψυχῆς ϖροείρηκε.*

436 a 8-11. «*οἷον... ζώοις.*» *Τίνα δέ ἐσΊι τὰ μέγισΊά τε καὶ κοινὰ ἔργα τῆς ψυχῆς καὶ τοῦ σώματος ἑξῆς λέγει. Αἴσθησις γὰρ καὶ μνήμη καὶ Θυμὸς καὶ ἐπιθυμία καὶ ὅλως ὄρεξις καὶ ϖρὸς τούτοις ἡδονὴ καὶ λύπη φανερώτατα*[7] *μὲν καὶ τῶν ζώων σχεδὸν ἁπάντων ἐσΊὶν ἔργα καὶ*

[1] *τῶν* om. B. — [2] *ἑκατέρου* AMBC. — [3] *Δείκνυσί τε*] *δεικνὺς* AMBC. — [4] *συνεπισκεπΊομένου* A. *συνεπισκεπΊομένων* M. — [5] *τῶν* M. — [6] *μορίων* M. — [7] *φανερώτητα* A.

---

mus et primo de primis» dicens infert «videntur autem maxima et communia et propria[1] animalium, communia anime existentia et corporis.» Est autem quod dicit quod maxima quidem operationum animalium, videlicet communium et propriorum uniuscuiusque generis, videntur communia esse anime et corporis, et non ipsius anime secundum se. Ostenditque nobis quod in ea que de ipsis consideratione sic oportet fieri, scilicet simul considerare et corporis partes in quibus et per quas animam habentium operationes. Quod autem plurime animalium operationum per corpus et in hiis que de anima predixit.

436 a 8-11.] Que sunt maxima et communia opera anime et corporis consequenter dicit. Sensus enim et memoria et ira et concupiscentia et totaliter appetitus et adhuc delectatio et tristitia manifestissime quidem et animalium fere omnium sunt opera et communes

[1] proprium.

ALEXANDRE D'APHRODISIAS.
—
436 a 11-19.

κοιναὶ ἐνέργειαι αὐτῶν. Ἔστι δὲ ταῦτα πάντα κοινὰ[1] ψυχῆς καὶ σώματος, περὶ ὧν τῶν πλείστων ἐν τοῖς περὶ ψυχῆς προείρηται, περὶ δὲ ἐνίων ὕστερον ἐρεῖ. Αἴσθησις μὲν οὖν καὶ ἐπιθυμία καὶ ἡδονὴ καὶ λύπη κοινὰ πάντων, θυμὸς δὲ καὶ μνήμη τῶν πλείστων. Ἤρτηται[2] δὲ ταῦτα πάντα τῆς αἰσθήσεως, ἥ τε γὰρ[3] μνήμη, ὡς δείξει (ἐρεῖ δὲ περὶ μνήμης ἐν τοῖς ἑξῆς, οὐ γὰρ προείρηκέ πω), περί τε ὀρέξεως καὶ ἡδονῆς καὶ λύπης, ὅτι[4] ἕπεται ταῦτα τοῖς αἴσθησιν ἔχουσιν ἐν τοῖς περὶ ψυχῆς δέδειχε.

436 a 11-19. « Πρὸς δὲ... ζωῆς. » Πρὸς τούτοις δὲ ἄλλα τινά ἐστι τὰ μὲν πάντων τῶν ζωῆς μετεχόντων κοινά, τὰ δὲ τῶν ζῴων τὰ μὲν πάντων τὰ δὲ τῶν πλείστων, †καὶ[5] περὶ ὧν ἐφεξῆς τὴν θεωρίαν κατὰ τὴν πρόθεσιν ποιήσεται, ὁμοίως[6] τοῖς εἰρημένοις κοινά ἐστι ψυχῆς τε καὶ σώματος. Διὸ καὶ ἅμα περὶ ἑκατέρων[7] αὐτῶν ποιήσεται τὸν λόγον.

[1] om. AMBC. — [2] εἴρτηται A. — [3] del. M. — [4] δὲ add. M. — [5] Transposez après ποιήσεται. — [6] ὅμοια AMBC. — [7] ἑκατέρων αὐτῶν] ἑκατέρας αὐτῆς AMBC.

---

operationes ipsorum. Sunt autem hec communia anime et corporis, de quorum plurimis in hiis que de anima predictum est. De aliquibus autem posterius dicet. Sensus quidem igitur et concupiscentia et delectatio et tristitia communia omnibus, ira autem et memoria plurimorum. Dependent autem hec omnia a sensu : memoria enim, ut ostendet (dicet autem de memoria in consequentibus; non enim predixit alicubi), de appetituque et delectatione et tristitia, quod assequantur[1] hec habentibus sensum, in hiis que de anima ostendit.

436 a 11-19.] Adhuc autem alia quedam sunt, hec quidem communia omnibus vita participantibus, hec animalibus, hec quidem omnibus, hec autem pluribus, et de quibus consequenter faciet considerationem secundum propositum, similiter dictis communia[2] anime et corporis sunt. Propter quod et simul de utrisque ipsis faciet sermonem. Que[3] autem sunt ipsa consequenter exponit dicens :

[1] assequatur. — [2] contraria. — [3] quod.

ALEXANDRE D'APHRODISIAS.

436 a 11-15.

Τίνα δέ ἐστιν αὐτὰ ἐξῆς ἐκτίθεται λέγων· « τυγχάνουσι δὲ τούτων τὰ μέγιστα τέτταρες οὖσαι συζυγίαι τὸν ἀριθμόν. » Καὶ καταριθμεῖται αὐτὰς, περὶ ὧν μετὰ τὸν περὶ αἰσθητηρίων τε καὶ αἰσθητῶν λόγον τὴν θεωρίαν παραδίδωσι, πρῶτον δὲ περὶ τούτων λέγει. Καὶ δι' ἣν αἰτίαν ἐρεῖ τόδε « καὶ γὰρ ταῦτα σχεδὸν ὑπάρχει πᾶσι τοῖς ζῴοις » εἶπε· διὸ προστίθησι[1] « οὐ γὰρ μόνα[2] τάδε[3] κοινὰ, ἀλλὰ κἀκεῖνα. » Λέγει δὲ[4] φυσικοῦ εἶναι τὸ περὶ ὑγείας[5] καὶ νόσου τὰς πρώτας ἰδεῖν ἀρχάς, τουτέστιν ἐκ τινῶν πρώτων ἀρχῶν τε καὶ ἐν τίσι πρώτοις ἡ ὑγίεια καὶ ἡ νόσος, ὅτι ἐν συμμετρίᾳ[6] τῶν πρώτων δυνάμεων, ξηρῶν ὑγρῶν, θερμῶν ψυχρῶν· καὶ ὅτι οἰκεία ἡ περὶ τούτων θεωρία τῇ περὶ ζῴων ἔδειξεν εἰπὼν « οὔτε γὰρ ὑγίειαν οὔτε νόσον οἷόν τε γίνεσθαι τοῖς ἐστερημένοις ζωῆς. » (436 a 11-15. « Πρὸς... θάνατος. ») Περὶ μὲν οὖν τῶν τεττάρων[7] συζυγιῶν ὧν προείρηκε φέρεται ἐν τῇ πραγματείᾳ τῆς φυσικῆς αὐτοῦ βιβλία, δι' ὧν ἐπραγματεύσατο περὶ αὐτῶν, λέγω δὲ περὶ ἐγρη-

[1] προσθήσει AMBC. — [2] μόνον B. — [3] τὰ ABC. — [4] περὶ add. B. — [5] ὑγιείας AMC. — [6] συμμέτρῳ AMBC. — [7] ἰδίων AC.

« Sunt autem horum maxima quatuor existentes coniugationes secundum numerum; » et dinumerat ipsas, de quibus post sermonem de sensitivis et sensibilibus theoriam tradit, primo autem de hiis dicit. Et propter quam causam dicet hoc[1] « et enim hec fere existunt omnibus animalibus » dixit; propter quod apponit : « Non enim sola communia, sed et illa. » Dicit autem naturalis esse de sanitate et egritudine prima videre principia, hoc est ex quibus primis incipiunt et in quibus primis sanitas et egritudo, quia in commensuratione primarum virtutum, siccorum humidorum, calidorum frigidorum. Et quod conveniens sit theoria de hiis ei que de animalibus ostendit dicens : « Neque enim sanitatem neque egritudinem possibile est fieri privatis vita. » (436 a 11-15.) De quatuor quidem igitur coniugationibus de quibus predixit feruntur in naturali negotio ipsius libri in quibus

[1] autem *add.*

γόρσεως καὶ ὕπνου καὶ νεότητος καὶ γήρως καὶ ἀναπνοῆς καὶ ζωῆς καὶ θανάτου. Τὰ δὲ περὶ ὑγείας καὶ νόσου, εἰ ἐγένετο, οὐ σώζεται. Ἔστι δὲ καὶ τούτων κοινὰ μὲν πάντων τῶν ζῴων ἐγρήγορσις καὶ ὕπνος, εἰ μή που γένος ἰχθύων ἔστι τι ἄγρυπνον, ὃ ζητεῖ ἐν τῇ περὶ ζῴων ἱστορίᾳ[1], ἡ δὲ νεότης καὶ τὸ γῆρας πάντων***[2] τῆς ζωῆς μετεχόντων κοινά, οὐ τῶν ζῴων μόνον[3] (καὶ γὰρ ἐν τοῖς φυτοῖς ἥ τε νεότης καὶ τὸ γῆρας[4], ὥσπερ οὖν καὶ ἡ ζωὴ καὶ ὁ θάνατος), ἀναπνοὴ δὲ[5] καὶ ἐκπνοὴ κοινὰ τοῖς πλείστοις τῶν ζῴων ὅσα πνεύμονα ἔχει.

436 a 19-b 1. « Διὸ... ἰατρικῆς. » Ὅτι δὲ τὸ περὶ ὑγείας τε[6] καὶ νόσου τὰς πρώτας ἀρχὰς[7] ἐπισκέψασθαι τίνες εἰσὶ τοῦ φυσικοῦ καὶ[8] φιλοσόφου συνίστησι καὶ ἐκ τοῦ[9] τῶν φυσικῶν τοὺς πλείστους περὶ αὐτῶν πεποιῆσθαι[10] λόγον καὶ ἐν τούτοις παύεσθαι τὴν φυσικὴν θεωρίαν, καὶ τῶν ἰατρῶν τοὺς χαριεστάτους ἀπὸ τούτων τὴν ἀρχὴν

[1] Arist. *Historia animalium* IV, x. — [2] Suppléez τῶν. — [3] μόνων B. — [4] πάντων... γῆρας répété B. — [5] τε AMBC. — [6–7] om. ABC. — [8] om. AMBC. — [9] τούτων γε AMBC. — [10] πεποιεῖσθαι AMC.

---

de ipsis tractavit, dico autem de vigilia et sompno et iuventute et senectute et respiratione et vita et morte. Que autem de sanitate et egritudine, si facta fuerunt, non salvantur. Sunt autem et horum quidem communia omnium animalium vigilia et sompnus, nisi alicubi[1] genus aliquod piscium sit insompne, quod inquirit in ea que de animalibus hystoria, iuventus autem et senectus communia omnibus[2] habentibus vitam, non solum animalibus (et enim in plantis iuventus et senectus, quemadmodum vita et mors), respiratio autem et exspiratio communia pluribus animalium quecumque pulmonem habent.

436 a 19-b 1.] Quod autem de sanitate et egritudine prima principia considerare que sint naturalis et philosophi confirmat et ex hoc quod plurimi naturalium de ipsis fecerunt sermonem et in hiis terminat naturalem theoriam, et medicorum gratiosissimi ab hiis principium theorie medicinalis faciunt, tamquam simul existentibus ipsis

[1] alicui. — [2] omnia.

ALEXANDRE D'APHRODISIAS.
—
436 b 1-4.

τῆς τῶν ἰατρικῶν θεωρίας ποιεῖσθαι ὡς φυσικῶν ὄντων. Ἅμα καὶ δεικνυσιν ἡμῖν κατὰ τί συνῆπται ἡ ἰατρικὴ τῇ φυσικῇ, καὶ ὅτι ἐστιν ὑπὸ τὴν φυσικὴν τὰς ἀρχὰς παρ' ἐκείνης ἔχουσα, ὡς ὀπτικὴ μὲν παρὰ γεωμετρίας, ἁρμονικὴ δὲ παρ' ἀριθμητικῆς, κυβερνητικὴ δὲ παρὰ ἀστρολογίας.

436 b 1-4. « Ὅτι... αἰσθήσεως. » Ὅτι δὲ πάντα τὰ λεχθέντα κοινὰ τῆς ψυχῆς ἐστι καὶ τοῦ σώματος προειπών, τὸ « φαίνεται δὲ τὰ μέγιστα καὶ τὰ κοινὰ καὶ τὰ ἴδια τῶν ζῴων κοινὰ τῆς ψυχῆς ὄντα[1] καὶ τοῦ σώματος, » καὶ μετὰ ταῦτά τινα ἐξ αὐτῶν τούτων παραθέμενος[2] (ἦν δὲ ταῦτα αἴσθησις, μνήμη, θυμός, ἐπιθυμία, ἡδονή, λύπη), πρὸς δὲ τούτοις καὶ ἄλλα[3] εἰπὼν εἶναι τὰ μὲν κοινὰ τῶν ζωὴν ἐχόντων πάντων τὰ δὲ ζῴων τινῶν, καὶ τὰ μέγιστα καὶ φανερώτατα[4] τῶν κοινῶν ἐκθέμενος, καὶ τὰς συζυγίας δείξας τὰς[5] τέτταρας[6] περὶ ὧν καὶ ποιήσασθαι πρῶτον λόγον ἐπηγγείλατο, ἐπειδὴ καὶ κατὰ φύσιν ἐστὶ πρῶτα, ὅτι †δέ[7] ταῦτα κοινὰ τῆς τε ψυχῆς ἐστι καὶ τοῦ σώματος δείκνυσι διὰ τοῦ

[1] Post σώματος AMC. — [2] παρθέμενος AMC. — [3] ἄλλοις ABC. — [4] φανερότητα A. φανερότατα M. φανερώτητα C. — [5] delet M. — [6] πέντε ABC. — [7] Il faut lire δή.

---

naturalibus: Et ostendit nobis secundum quid coniuncta est medicinalis naturali, et quod est sub naturali principia habens ab illa, sicut perspectiva a geometria et armonica ab aritmetica et gubernativa ab astrologia.

436 b 1-4.] Quod autem omnia dicta communia anime et corporis cum predixisset « videntur autem maxima et communia et propria « animalium communia anime et corporis entia, » et post hec exponens que ex hiis (erant autem hec sensus et memoria ira concupiscentia delectatio tristicia), adhuc autem cum dixisset alia esse hec quidem communia omnium habentium vitam, hec autem animalium quorumdam, et maxima et manifestissima communium exponens, et coniugationes quinque ostendisset de quibus et primo promisit facere sermonem, quoniam et secundum naturam est primum eorum, quod autem hec communia anime et corporis ostendit per hoc quod nullum

μηδὲν αὐτῶν χωρὶς αἰσθήσεως γίνεσθαι. Πάντα γὰρ μετ' αἰσθήσεως, τὰ[1] δὲ μετ' αἰσθήσεως διὰ σώματος. Ὅτι δὲ οὐδὲν αὐτῶν χωρὶς αἰσθήσεως δείκνυσι λέγων « πάντα γὰρ τὰ μὲν μετ' αἰσθήσεως συμβαίνει, τὰ δὲ δι' αἰσθήσεως. » Ἐγρήγορσις μὲν γὰρ μετ' αἰσθήσεως, εἴ[2] γε, διακρινομένης τῆς τροφῆς καὶ[3] τῶν αἰσθήσεων διεγειρομένων[4] καὶ[5] ἐξ ἀργίας εἰς ἐνέργειαν μεταβαλλουσῶν, ἡ ἐγρήγορσις. Ὁμοίως καὶ μετὰ αἰσθήσεως ἡδονή τε καὶ λύπη, ἔτι δὲ[6] ὑγίεια καὶ νόσος. Δι' αἰσθήσεως δὲ νεότης καὶ γῆρας· ἑκάτερον γὰρ τούτων ἐν τῷ πως ἔχειν τὰς αἰσθήσεις.

436 b 4-6. « ἔνια... σΊερήσεις. » Πάθος δὲ τῆς αἰσθήσεως ὕπνος ἂν εἴη· ταύτης γὰρ[7] πασχούσης, ὁ ὕπνος· ἡ γὰρ ἐκ τῆς τροφῆς ἀναθυμίασις ὅταν ἐπὶ κεφαλὴν ἀθρόα ἀνενεχθεῖσα καὶ[8] καταψυχθεῖσα ὑπὸ τῶν περὶ τὸν ἐγκέφαλον εἰς τὸ κάτω πάλιν, ὅθεν ἀνηνέχθη, κατενεχθῇ, βαρουμένη[9] ἡ αἴσθησις ὑπὸ τῆς ἐν αὐτῷ ὑγρότητος αὐτή τε

[1] τὰ... αἰσθήσεως om. AM. — [2] εἴγε] εἴτε ABC. γὰρ M. — [3] om. ABC. — [4] διεγειρόμενος ABC. — [5] om. ABC. — [6] τε AMBC. — [7] δὲ AMBC. — [8] καὶ καταψυχθεῖσα om. AC. — [9] βαρούμενος AMBC.

---

eorum sine sensu sit. Omnia enim cum sensu, que autem cum sensu per corpus. Quod autem ipsorum nullum sine sensu ostendit dicens : « Omnia enim hec quidem cum sensu accidunt, hec autem per sen« sum. » Vigilia quidem enim cum sensu, siquidem, segregato[1] alimento et sensibus excitatis et ex ocio in actum permutatis[2], vigilia. Similiter et cum sensu delectatio et tristitia, adhuc autem sanitas et egritudo. Per sensum autem iuventusque*** senectus; utrumque enim horum in aliqualiter habendo sensus.

436 b 4-6.] Passio autem sensus sompnus utique erit; hoc enim patiente, sompnus : que[3] enim ex alimento evaporatio quando ad capud multa sursum lata et infrigiditata a cerebro ad deorsum iterum, cum elevata fuerit, deorsum feratur, gravatus sensus ab humiditate

[1] segregatio. — [2] permutat. — [3] quod.

ἐμποδίζεται πρὸς τὸ ἐνεργεῖν καὶ ἡσυχάζει καὶ αἰτία τοῖς ζῴοις ὕπνου γίνεται. Ἕξις δὲ αἴσθησις ἂν εἴη· ἐν γὰρ τῷ αἴσθησιν ἔχειν τὸ εἶναι τοῖς ζῴοις. Φυλακαὶ δὲ καὶ σωτηρίαι αἱ μνῆμαι καὶ ἀναμνήσεις. Φθοραὶ δὲ καὶ στερήσεις αἱ λῆθαί τε[1] καὶ ὁ θάνατος. Ὅτι μὲν οὖν μετ' αἰσθήσεως καὶ οὐκ ἄνευ αἰσθήσεως αἱ προειρημέναι συζυγίαι διὰ τούτων γνώριμον. Κοινότερον δ' ἂν λέγοιτο ἐπὶ τῶν φυτῶν τὸ γῆρας καὶ ἡ νεότης. Ἡ δὲ ζωὴ καὶ ὁ θάνατος καὶ ἐν τοῖς οὐκ ἔχουσιν αἴσθησιν τῶν ἐμψύχων ἐστίν, ἀλλ' ἔν γε τοῖς ζῴοις καὶ ταῦτα μετ' αἰσθήσεως.

436 b 6-8. « Ἡ δ'... χωρίς. » Ὅτι δὲ ἡ αἴσθησις διὰ τοῦ σώματος γίνεται καὶ διὰ λόγου φησὶ[2] γνώριμον καὶ χωρὶς[3] τοῦ λόγου ἐναργές. Καὶ γὰρ αὐτόθεν ἐναργὲς τὸ τὰς αἰσθήσεις διὰ σωματικῶν ὀργάνων γίνεσθαι. Καὶ διὰ τοῦ λόγου ῥᾷον δεῖξαι· τοῦτο γὰρ αἰσθάνεσθαί ἐστι τὸ τῶν αἰσθητῶν ἀντιλαμβάνεσθαι διὰ τῶν αἰσθητηρίων, ἅ ἐστι σώματα.

III. 436 b 8-437 a 17. « Ἀλλά... κωφῶν. » 436 b 8-12. « Ἀλλά...

[1] om. AMBC. — [2] φημὶ AC. — [3] ἄνευ AMC.

---

que in ipso impeditur ab opere et quiescit et fit animalibus causa sompni. Habitus autem sensus utique erit; in habendo enim sensum esse animalibus. Conservationes autem et salvationes memorie et reminiscentie. Corruptiones autem et privationes oblivionesque et mors. Quod quidem igitur cum sensu et non sine sensu predicte coniugationes, per hoc manifestum. Communius autem dicitur in plantis senectus et iuventus. Vita autem et mors et *** non habentibus sensum animatorum est, sed in animalibus et hec[1] cum sensu.

436 b 6-8.] Quod autem sensus per corpus fit et per rationem, ait[2], manifestum et sine ratione evidens. Et enim per se manifestum sensus per corporea[3] organa[4] fieri. Et per rationem facile ostendere : sentire enim est sensibilia recipere per sensitiva, que sunt corpora.

III. 436 b 8-437 a 17.] « Sed de sensu quidem et sentire quis est

[1] hoc. — [2] autem *avec trois points au-dessous.* — [3] corpora. — [4] organa fieri] organaliter.

ALEXANDRE D'APHRODISIAS.
—
436 b 8-12.

διορίζομεν.» Δείξας ὅτι δι' αἰσθήσεως τὰ[1] κοινὰ ἔργα τε καὶ πάθη τῶν ζώων, ἔχων δὲ καὶ τὸ τὴν αἴσθησιν κοινὸν ἔργον εἶναι ψυχῆς τε καὶ σώματος, ἔχει μὲν ἑπόμενον τοῖς εἰρημένοις τὸ[2] περὶ αἰσθήσεως εἰπεῖν πρὸ τούτων ἃ δι' αἰσθήσεως ἢ μετ' αἰσθήσεως ὑπὸ τῶν ζώων γίνεται· πρῶτον γὰρ τῶν κοινῶν οὗ τἆλλα προσδεῖται. Ἐπεὶ δὲ τὰ μὲν εἴρηται περὶ αἰσθήσεως τὰ δὲ ῥηθήσεται, τῶν μὲν εἰρημένων ἡμᾶς ὑπομιμνήσκει (εἴρηται δὲ ἐν τοῖς περὶ ψυχῆς περὶ τῆς αἰσθητικῆς ψυχῆς καὶ δυνάμεως καὶ περὶ τῆς ἐνεργείας τῆς κατ' αὐτὴν), τούτων δὴ ὡς εἰρημένων καὶ ἐν οἷς εἴρηται ὑπομιμνήσκει ἡμᾶς, προσθήσει δὲ νῦν τὸν περὶ τῶν αἰσθητηρίων λόγον (κοινὸν γὰρ ἦν ἡ αἴσθησις ψυχῆς καὶ σώματος, ὥστε ὁ περὶ τῶν αἰσθητηρίων λογος τῷ περὶ αἰσθήσεως συνῆπται), ἔτι δὲ τὸν[3] περὶ τῶν αἰσθητῶν, ἐπεὶ περὶ ταῦτα ἡ τῆς αἰσθήσεως ἐνέργεια, περὶ ὧν καὶ αὐτῶν ἐπ' ὀλίγον μὲν προείρηται καὶ ἐν

[1] τὰ κοινὰ... αἰσθήσεως répété AMBC. — [2] δεῖν add. AMBC. — [3] ὁ M.

«propter quid accidit animalibus hec passio dictum est prius in hiis «que de anima.» (436 b 8-12) Cum ostendisset quod per sensum communia opera et passiones animalium, habensque et sensum esse commune autem opus anime et corporis, est quidem[1] consequens dictis de sensu dicere ante[2] hec que per sensum aut cum sensu ab animalibus fiunt; primum enim communium quo alia indigent. Quoniam autem hec quidem dicta sunt per sensum, hec autem dicentur[3], dictorum quidem nos recordatur (dictum est autem in hiis que de anima de sensitiva anima et virtute et de operatione ea que secundum ipsam), hiis autem tamquam dictis et in quibus dictum est recordatur nobis, apponet autem nunc de sensitivis sermonem (sensus enim erat communis anime et corporis, quare qui de sensitivis sermo ei qui de sensu copulatus est), adhuc autem de sensibus, quoniam circa hec[4] sensus operatio, de quibus modicum predictum est et in hiis que de

[1] quid. — [2] autem. — [3] videntur. — [4] hoc.

ALEXANDRE D'APHRODISIAS. — 436 b 12-18.

τοῖς ϖερὶ ψυχῆς, ἐπὶ ϖλέον δὲ καὶ ἀκριβέστερον νῦν ῥηθήσεται. Ὑπομιμνήσκει δὲ ἡμᾶς διὰ βραχέων τε καὶ σαφῶς τῶν ϖερὶ αἰσθήσεως εἰρημένων τε καὶ δεδιδαγμένων ἐν τοῖς ϖερὶ ψυχῆς αὐτῷ, ὅτι ϖᾶσι μὲν τοῖς ζώοις ἀνάγκη ἔχειν αἴσθησιν· ταύτῃ γὰρ τὰ ζῷα τῶν μὴ ζώων χωρίζεται. Ἔδειξε δὲ ἐκεῖ[1] ὅτι ἁπτὰ ὄντα καὶ μὴ ἁπλᾶ ἀλλὰ σύνθετα καὶ ἐν συμμετρίᾳ τινὶ τῶν ὑποκειμένων τὸ εἶναι ἔχοντα, εἰ μὴ ἁπτόμενα ἦν καὶ αἰσθανόμενα ὡς φυλάσσεσθαι τὰ φθαρτικὰ αὐτῶν, ὑπὸ[2] τῶν ὑπερβολῶν ἂν τῶν ἐν τοῖς ἁπτομένοις αὐτῶν ἐφθείρετο. Πάθος δὲ τὴν αἴσθησιν εἶπεν, ὅτι αἰσθάνεσθαι[3] διὰ ϖάθους.

436 b 12-18. « Ἰδίᾳ... ϖάθος. » Οὐκέτι μέντοι ἐν ϖᾶσι τοῖς ζώοις ϖᾶσα αἴσθησις, ἀλλ' ἐν ϖᾶσι μὲν ἁφή τε καὶ γεῦσις. Ἐδείχθη γὰρ ἐν τῷ τέλει τοῦ τρίτου ϖερὶ ψυχῆς[4] ὅτι τῆς ἁφῆς τὰ ζῷα στερηθέντα ἅμα καὶ τοῦ εἶναι ϖαύεται· τῆς γὰρ μεσότητος καὶ συμμετρίας τῶν σωμάτων, ἐν ᾗ τοῖς ζώοις τὸ εἶναι, φθορά ἐστιν ἡ τῆς ἁφῆς φθορά. Ἀλλὰ

[1] *De An.* II, 12, 424 a 28. III, 13. — [2] ἀπὸ ABC. — [3] αἰσθάνεται AMBC. — [4] Arist. *De An.* III, 13, 435 b 4.

---

anima, amplius autem et diligentius nunc dicetur[1]. Recordatur autem nobis breviter et plane dictorum de sensu et eorum que docuit ipse in hiis que de anima, quod omnibus quidem animalibus necesse sensum habere; hoc enim animalia a non animalibus separantur. Ostendit autem ibi quod simplicia entia et non simplicia sed composita et in commensuratione quadam subiectorum esse habentia sunt tangentia et sentientia, ut caveant corruptiva ipsorum ab excellentiis que in tangibilibus que ipsa corrumperent. Passionem autem sensum[2] dixit, quia sentire pèr passionem.

436 b 12-18.] Non sunt in omnibus animalibus omnes sensus, sed in omnibus quidem tactus et gustus. Ostensum est enim in fine tercii de anima quod animalia privata tactu simul et esse desinunt; medietatis enim et commensurationis corporum, in qua animalibus

[1] dicitur. — [2] sensuum

ALEXANDRE D'APHRODISIAS. — 436 b 12-18.

καὶ ὅτι ἡ γεῦσις τῆς τροφῆς[1] οὖσα κριτική τε[2] καὶ ἀντιληπτική[3] ἀναγκαία τοῖς ζῴοις ***[4], εἴ γε χωρὶς τοῦ τρέφεσθαι ἀδύνατον αὐτὰ σώζεσθαι. Ἔστι γὰρ ὁ χυμὸς τοῦ γευστικοῦ μορίου τῶν ἐν ἡμῖν πάθος, τουτέστι τῆς γεύσεως. Ἡ γὰρ γεῦσις, δι' οὗ[5] τρεφόμεθα μόριον ἡμῶν[6] οὖσα, τούτου ἀντιλαμβάνεται καὶ ὑπὸ τούτου πάσχει πως[7]· τὸ γὰρ ἡδὺ διακρίνει ἡμῶν τὸ[8] δι' οὗ γευόμεθα, ὅπερ ἐστὶν ἡ γλῶσσα[9]. Αὕτη γὰρ †ἀπὸ[10] τοῦ χυμοῦ πάσχουσα αἰσθάνεται αὐτοῦ καὶ γεύεται. Εἰπὼν δὲ « τὸ γὰρ ἡδὺ διακρίνει καὶ τὸ λυπηρὸν αὕτη περὶ τὴν τροφήν, ὥστε[11] τὸ μὲν φεύγειν[12] τὸ δὲ διώκειν[13] » ἐπήνεγκε τὴν αἰτίαν ὅτι ὁ μὲν χυμός, οὗ αἰσθανόμεθα, πάθος ἐστὶ τοῦ γευστικοῦ μορίου. Διὸ εὐλόγως ἡμῖν εἴρηται τὸ τὴν γεῦσιν τὸ ἡδὺ καὶ τὸ λυπηρὸν διακρίνειν τὸ ἐν τῇ τροφῇ ἐν τῷ πάσχειν· τὸ γὰρ γευστικόν, ὅ ἐστι μόριον ἡμῶν, ὑπὸ τοῦ γευστοῦ πάσχον τὸ ἡδὺ καὶ τὸ λυπηρὸν καὶ τὸ τρόφιμον διακρίνει. Γράφεται ἀντὶ τοῦ « γευστικοῦ μορίου, » « τοῦ θρεπτικοῦ μο-

[1] ἀφῆς ABC. — [2] om. ABC. — [3] ληπτική AMBC. — [4] Suppléez δῆλον. — [5] ἧς AMBC. — [6] ἡμῖν B. — [7] om. AC. — [8] om. AC. — [9] γλῶττα AMC. — [10] Lisez ὑπό. — [11] ὥστε... διώκειν om. AC. — [12] φεύγει M. — [13] διώκει M.

---

esse est, corruptio est tactus corruptio. Sed et quod gustus alimenti existens iudicativus et receptivus necessarius animalibus, si quidem sine alimento impossibile[1] ipsa salvari. Est enim sapor gustative particule eorum que in nobis passio, hoc est gustus. Gustus enim particula per quam nutrimur[2] existens hoc recipit et ab hoc patitur[3] aliqualiter; delectabile enim discernit id per quod nos gustamus, quod quidem est lingua. Ipsa enim a sapore patiens sentit ipsum et gustat. Cum autem dixisset : « Delectabile enim discernit et tristabile ipse « circa alimentum, ut[4] hoc quidem fugiat hoc autem persequatur[5], » intulit causam, quia sapor quidem quem sentimus passio est sensitive particule. Propter quod rationabiliter a nobis dictum est hoc, gustum delectabile et tristabile discernere quod in alimento. Gustativum enim

[1] possibile. — [2] nutrimus. — [3] patet. — [4] et. — [5] prosequatur.

ALEXANDRE D'APHRODISIAS.

436 b 12-18.

ρίου πάθος, » καὶ οὕτως ἂν λέγοιτο[1] τῆς θρεπτικῆς δυνάμεως τῆς ψυχῆς πάθος ὁ χυμὸς εἶναι, ὡς[2] ὑπὸ τοῦ χυμοῦ πασχούσης τῆς δυνάμεως ταύτης. Ἄτοπον δὲ τὸ λέγειν ὑπὸ χυμῶν πάσχειν τὴν θρεπτικὴν δύναμιν· τὸ μὲν γὰρ ὑπὸ χυμῶν πάσχειν τὸ αἰσθάνεσθαι χυμοῦ ἐστι, τὸ δὲ θρεπτικὸν ἄλλο τοῦ αἰσθητικοῦ. Διὸ ἄμεινον, εἰ[3] οὕτως εἴη ἔχουσα ἡ γραφή, μὴ ἐπὶ τὴν δύναμιν τῆς ψυχῆς ἀναφέρειν τὸ θρεπτικόν, ὥς φησι δεῖν ἀκούειν τῆς λέξεως Ἀσπάσιος, ἀλλ' ἐπὶ τὸ μόριον δι' οὗ τρεφόμεθα (τούτου γὰρ ὁ χυμός), ἵν' ᾖ τοῦ[4] τρέφειν δυναμένου μορίου πάθος τὸν χυμὸν λέγων, οὗ ἐστιν ἡ γεῦσις ἀντιληπτική. Ἀμείνων δὲ ἡ πρότερον ῥηθεῖσα γραφή. Γράφεται καὶ οὕτω « καὶ ὅλως ὁ χυμός ἐστι τοῦ γευστικοῦ θρεπτικοῦ μορίου πάθος. » [Καὶ[5] εἰ οὕτω γράφοιτο, εἴη ἂν τὸ λεγόμενον « τοῦ γευστικοῦ μορίου ὅ ἐστι θρεπτικὸν ὁ χυμὸς πάθος, »] ἵν' ᾖ τὸ μὲν γευστικὸν ὡς γένος[6], διαφορὰ δὲ τοῦ γευστικοῦ τὸ θρεπτικὸν καὶ μή. Τοῦ δὴ[7] γευστικοῦ θρεπτικοῦ ὅ ἐστι μόριον ἡ

[1] λέγοι AMC. — [2] καὶ AMBC. — [3] om. AMC. — [4] τὸ AMBC. — [5] καὶ... πάθος om. AMBC. — [6] ἡ add. C. — [7] δὲ M.

---

quod est pars a gustabili ***delectabile et tristabile[1] et nutribile[2] discernit. Scribitur et pro[3] hoc « gustative particule, » « ***passio, » et sic utique dicetur[4] nutritive anime passio sapor esse, tamquam a sapore patiente potentia hac. Inconveniens autem dicere a saporibus pati nutritivam potentiam; pati enim a saporibus sentire sapores est, nutritivum autem aliud a sensitivo[5]. Propter quod melius, si ita sit habens scriptura, non ad virtutem anime referre nutritivum, ut ait oportere intelligere dictionem Aspasius, sed ad particulam per[6] quam nutrimur (huius enim sapor), ut sit nutrire potentis particule passio, saporem dicens, cuius est gustus susceptivus. Melior autem prior dicta scriptura. Scribitur et sic « et totaliter sapor est gustative nutritive particule passio. » Et si ita sit scriptum, erit utique quod dicitur « gustative particule quod est nutritive sapor passio, » ut sit gustativum quidem tanquam genus, differentia autem gustativi quod nutritivum

[1] tibale. — [2] non. — [3] per. — [4] dicentur. — [5] sentitivo. — [6] ad.

εἶδος τοῦ γευστικοῦ πάθος ἐστὶν ὁ χυμὸς, γευστικὸν δὲ ἡ αἴσθησις ἡ[1] γευστική. Καὶ εἴη ἂν αὕτη ἡ γραφὴ ἔχουσα ἀμφότερα τὰ εἰρημένα ἐν ταῖς πρὸ ταύτης δύο[2] γραφαῖς.

436 b 18-437 a 1. « Αἱ δέ... φεύγωσι. » Ἡ μὲν οὖν ἀφή τε καὶ ἡ γεῦσις κοινὴ πᾶσι τοῖς ζῴοις· αἱ δὲ διά τινων μεταξὺ ἄλλων γινόμεναι αἰσθήσεις, οἷαί εἰσιν αἱ καταλειπόμεναι τρεῖς, οὐκέτι πάντων εἰσὶ κοιναὶ τῶν ζῴων, ὡς καὶ αὐτὸς ἐν τοῖς[3] περὶ ψυχῆς εἶπεν[4]. Ἐν οἷς μέντοι εἰσὶν ὥσπερ πρὸς σωτηρίαν αὐτοῖς συντελοῦσαί εἰσιν, ὡς καὶ[5] ἐν τοῖς περὶ ψυχῆς εἴρηται[6]. Τὰ[7] γὰρ κατὰ τόπον[8] κινητικὰ καὶ[9] μεταβλητικὰ ὄντα[10] τῆς τε ὄψεως δεῖται, ὅπως φυλάττηται καὶ μὴ περιπίπτῃ τοῖς φθαρτικοῖς αὐτῶν[11], καὶ τῆς ὀσφρήσεως, ὅπως προαισθάνηται τῆς τροφῆς. Ἀλλὰ καὶ ἡ τῶν ψόφων ἀντίληψις εἰς σωτηρίαν συντελεῖ. Πολλοὶ γὰρ ψόφοι τῶν ζῴων εἰσὶ φθαρτικοὶ, οὓς φυλάσσεται. Ἀλλὰ καὶ ἐπιβουλὰς τὰς ἐξ ἀλλήλων φυλάττεται τὰ ζῷα διὰ τοῦ

[1] καὶ AMBC. — [2] διὸ A. — [3] τῷ AMBC. — [4] Arist. *De An.* III, 12. 434 b 22. — [5] ἐν τούτῳ add. AMBC. — [6] Arist. *de An.* III, 12. 434 b 22. — [7] τῷ AMBC. — [8] εἶναι add. AMBC. — [9] γίνεται AMC. — [10] om. AMBC. — [11] αὐτοῦ AMBC.

et non. Gustativi itaque et nutritivi quod est pars aut species gustativi passio est sapor, gustativum autem sensus gustativus[1]. Et erit utique hec scriptura habens utraque dicta in duabus scripturis ante istam.

436 b 18-437 a 1.] Tactus igitur et gustus communis omnibus animalibus. Qui autem per media fiunt sensus, quales sunt reliqui tres, non adhuc omnium sunt animalium communes, sicut et in hiis que de anima dixit. In quibus tamen*** ad salutem ipsis facientes sunt, quemadmodum et in hiis que de anima dixit. Que enim secundum locum motiva et migrativa sunt sensu indigent visus, ut caveant incidant corrumpentibus ipsa, et odoratu[2], ut presentiant alimentum. Sed et sonorum susceptio ad salutem facit. Multi enim soni animalium sunt corruptivi, quos observant. Sed et insidias adinvicem cavent animalia

[1] gustativum. — [2] odorata.

ψόφου προαισθανόμενα αὐτῶν, ὃν ποιεῖ ἢ προσιόντα ἢ ὑποχωροῦντα ἢ[1] ὑφισἵάμενα[2]. Ἀλλὰ καὶ τροφῆς[3] εὐπορίαν[4] ***[5] πολ....[6] τοῦ ψόφου[7] σημηνάντος[8]· πολλὰ γοῦν τῶν σαρκοφάγων τῷ ψόφῳ διακρίνουσιν [ἐδώδιμα[9]] αὐτοῖς ζῷα, καὶ οὕτως αὐτοῖς ἐπιτίθεται.

437 a 1-3. « τοῖς... πρακτῶν. » Πᾶσαι μὲν οὖν αἱ αἰσθήσεις σωτηρίας ἕνεκα τοῖς ζῴοις ὑπάρχουσιν, ἤδη δὲ καὶ εἰς φρόνησίν τινες αὐτῶν συντελοῦσι τοῖς φρονήσεως δεκτικοῖς, ὥσἵε[10] ἐν[11] αὐτοῖς μὴ μόνον τοῦ ἀναγκαίου χάριν αὐτὰς εἶναι, ἀλλὰ καὶ τοῦ εὖ. Πολλὰς γάρ, φησι, διαγγέλλουσι διαφοράς, ἐξ ὧν ἥ τε τῶν νοητῶν ἐπιγίνεται φρόνησις καὶ ἡ τῶν πρακτῶν. Λέγει δὲ ταῦτα περί τε τῆς ὄψεως[12] καὶ ἀκοῆς, ὡς καὶ αὐτὸς προϊὼν δηλοῖ[13]. Ὅτι δὲ ἀρχαὶ πράξεως τε καὶ θεωρίας αἱ δι' αὐτῶν ἀντιλήψεις καὶ διαφοραὶ τούτων ὧν ἀντιλαμβάνονται, δῆλον. Αἵ τε γὰρ τῶν ὁρατῶν διαφοραὶ εἰς ἔννοιαν ἡμᾶς ἤγαγον

[1] καὶ AMBC. — [2] ἀφισἵάμενα ABC. — [3] τροφῶν ABC. — [4] ἀπορίαν A. — [5] Suppléez un verbe comme ἔχει, à moins qu'il ne faille lire εὐπορίᾳ πολλοῖς. — [6] om. ABC. La fin du mot, sans doute πολλὴν ou πολλοῖς, est rognée dans M. — [7] πόρου ABC. — [8] σημάναντος ABC. — [9] ἁλώσιμα AMBC. — [10] καὶ ABC. ὡς M. — [11] ἐν αὐτοῖς om. ABC. — [12] τε add. AMBC. — [13] ἐρεῖ AMC. ἐρεῖ δηλοῖ B.

---

per sonum presentientia[1] ipsa, quem faciunt aut accidentia aut recedentia aut subsistentia. Sed et alimenti habundantiam *** significantia. Multa igitur carnes vorantium sono discernunt esibilia[2] ipsis animalia, et sic ipsis superveniunt.

437 a 1-3.] Omnes igitur sensus salutis gratia animalibus existunt. Iam autem et ad prudentiam quedam ipsorum faciunt prudentie susceptivis, ut non solum necessarii gratia ipsi in ipsis sint, sed multis[3] ad bene. Multas enim, ait, annuntiant differentias, ex quibus intellectualium advenit prudentia et agibilium. Dicit autem hoc de visu et auditu, sicut et ipse procedens manifestat. Quod autem principia operationis et contemplationis receptiones que fiunt per ipsos et differentie horum que suscipiunt, palam. Visibilium enim diffe-

[1] per presentia. — [2] esipilia. — [3] multi.

ALEXANDRE D'APHRODISIAS. — 437 a 1-3.

φωτός τε καὶ σκότους, τουτέστιν ἡμέρας τε καὶ νυκτός, ἀφ' ὧν ὁρμώμενοι τὰ ποιητικὰ τούτων ἐξητάσαμεν[1] *· ὅθεν ἡ περὶ τοῦ κόσμου καὶ τῶν ἐν*[2] *αὐτῷ θεωρία, ἃ ποιητικὰ νυκτὸς καὶ ἡμέρας ἀνὰ μέρος ὁρῶντες γινομένα, καὶ ἀριθμοῦ ἐπίνοιαν ἔσχομεν, ὥς φησι Πλάτων*[3] *· ἀλλὰ καὶ τὸ τὴν σελήνην μὴ ἀεὶ ὁμοίως*[4] *πεφωτίσθαι εἰς ἔννοιαν ἡμᾶς ἤγαγεν, ὅτι μὴ οἰκεῖον αὐτῆς τὸ λαμπρὸν τοῦτο φῶς· ἀλλὰ καὶ αἱ τῶν κινήσεων τῶν ἄστρων καὶ*[5] *μεγεθῶν φαινόμεναι*[6] *διαφοραὶ (καὶ γὰρ τούτων ἡ ὄψις ἀντιλαμβάνεται μάλιστα, εἰ καὶ κοινὰ αὐτῇ*[7] *ταῦτα τὰ αἰσθητὰ καὶ πρὸς ἄλλας· πάντων γὰρ σωμάτων τὰ μεγέθη καὶ αἱ κινήσεις καὶ ὁ ἀριθμὸς καὶ τὰ σχήματα τῇ ὄψει αἰσθητά, ἐπεὶ καὶ ὁρᾶται πάντα τὰ σώματα τῷ κεχρῶσθαι· διὰ γὰρ τῶν ἰδίων αἰσθητῶν καὶ μετὰ τούτων ἡ τῶν κοινῶν αἴσθησις ἑκάστη γίνεται· διὸ ἡ ἀκοὴ τοῦ ἐν ψόφῳ μεγέθους μόνου*[8] *αἰσθάνεται καὶ τοῦ ἐν τούτῳ ἀριθμοῦ καὶ τῆς*

[1] *ἐξητήσαμεν* B. — [2] *ἐν αὐτῷ*] *ἐνιαυτῶν* ABC. — [3] *Tim.* 39 B. — [4] *ὁμοίαν* ABC. — [5] del. M. — [6] *γινόμεναι* AC. — [7] *αὐτῶν* AC. — [8] ante *μεγέθους* AMC.

---

rentie nos ducunt[1] in meditationem lucis et tenebrarum, hoc est diei et noctis, a quibus opinionis[2] habentes occasionem factiva horum exquirimus. Unde generatur que de mundo consideratio et de hiis que in ipso, que factiva sunt noctis et diei vicissim aspicientibus facta, et numeri meditationem habemus, ut ait Plato; sed et quod[3] luna non similiter semper illuminata est in meditationem[4] nos[5] ducit, quod non sit proprium ipsius splendens lumen hoc. Sed et motuum astrorum et magnitudinum apparentes differentie, et enim hic visus pertinet maxime, et si communia[6] ipsis hec sensibilia, et ad alios; omnium enim corporum magnitudines et motus et numerus et figure visui sensibilia, quoniam et videntur omnia corpora eo quod colorata sunt : per propria enim sensibilia et cum hiis sensus communium unusquisque fit; propter quod auditus magnitudinem sonantem solam sentit et numerum qui in hac et etiam[7] qui in ipsa motum; similiter

[1] dicunt. — [2] opiniones. — [3] *Pointé au-dessous.* — [4] meditatione. — [5] non. — [6] coram. — [7] enim qui in hac et enim.

ALEXANDRE D'APHRODISIAS. — 437 a 1-3.

ἐν τούτῳ κινήσεως, ὁμοίως δὲ καὶ τῶν ἄλλων αἰσθητηρίων ἕκαστον) περί τε τῆς κατὰ κίνησιν ὁμαλότητος αὐτῶν εἰς ἔννοιαν ἡμᾶς †ἤγαγε[1] καὶ περὶ τῆς ἀϊδιότητος αὐτῶν καὶ περὶ τοῦ μεγέθους τοῦ κατὰ ἀλήθειαν αὐτῶν ἐξετάσεως[2]. Προσήγαγε δὲ ἡμᾶς ἡ[3] τούτων θέα καὶ ἐπὶ[4] τὸ πρῶτον αἴτιον ὃ τῆς τοιαύτης τάξεως τε καὶ φορᾶς αὐτοῖς αἴτιόν ἐστι[5]. Καὶ πρὸς τὰς πράξεις δὲ ἡμᾶς παιδεύει πως. Περὶ γὰρ τὰ καθ' ἕκαστον αἱ πράξεις, ἅ ἐστιν αἰσθητά τε[6] καὶ ὁρατά, ἐκ δὲ τῆς περὶ ταῦτα ἐμπειρίας τὸ πλεῖστον τῆς φρονήσεως. Παρατηρήσαντες γὰρ ἐκ[7] τῶν ἐν τοῖς αἰσθητοῖς συμβαινόντων τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ καθόλου περὶ αὐτῶν δόξαν λαμβάνομεν, τὰ μὲν[8] τοιαῦτα λέγοντες εἶναι φευκτά τε καὶ βλαβερά, τὰ δὲ τοιαῦτα αἱρετά τε καὶ ὠφέλιμα· ἐξ ὧν [συμβαίνει[9]] τὸ βουλεύεσθαι ἡμῖν περὶ τῶν μελλόντων. Ἀλλὰ καὶ ἡ τοῦ καλοῦ καὶ[10] αἰσχροῦ ἔννοια[11] βεβαιοῦται ἡμῖν ὑπὸ τῆς ὄψεως· ὁρώμενα γὰρ τὰ αἰσχρὰ μισητότερα, καὶ τὰ καλὰ σεμνότερα[12] τε[13] καὶ ζηλω-

[1] Lisez ἤγαγον. — [2] ἐξετάσαι AMC. — [3] περὶ add. AMBC. — [4] ἐπὶ... αἴτιον] ἐπὶ ζήτησιν τοῦ πρώτου αἰτίου AMBC. — [5] om. ABC. — [6] om. ABC. — [7] καὶ ABC. — [8] om. ABC. — [9] om. AMBC. — [10] τοῦ add. B. — [11] ἔννια A. — [12] τε καὶ σεμνὰ AMBC. — [13] τε καὶ om. AMBC.

---

[1] athomis. — [2] aut. — [3] servantia.

XII. 438 b 8-16. « Οὐ...κόρην. » Εἰπὼν « ὁρᾶται δὲ ὥσπερ καὶ ἔξω οὐκ ἄνευ φωτός, οὕτω καὶ ἐπὶ τοῦ ἐντός, » τοῦ[1] δεῖν[2] καὶ τὸ ἐντὸς διαφανὲς εἶναι αἴτιον παρατίθεται, ὅτι μὴ ἔσ7ιν ἡ ψυχὴ καὶ ἡ ὁρατικὴ δύναμις ἐν τῷ ὀφθαλμῷ. Εἰ γὰρ ἦν[3] ἐπ' ἄκρου τοῦ ὀφθαλμοῦ, οὐδὲν ἔδει τὸ ἐντὸς εἶναι διαφανές. Αὔταρκες γὰρ ἂν ἦν τὸ ἐκτός. Ἐπεὶ δὲ οὐκ ἔσ7ιν αὐτοῦ[4] (ἦν γὰρ ἂν[5] καὶ ἐπὶ τῶν ἄλλων αἰσθητηρίων ὁμοίως· οὕτω δὲ οὐκ ἂν ἦν συναίσθησίς τις γινομένη[6], ἄλλου μορίου τῆς[7] ψυχῆς ἐν ἄλλῳ ὄντος καὶ ἐπ' ἄλλου τεταγμένου, οὐδ' ἂν ἐδυνάμεθα ὅτι ἕτερα[8] τὰ ὧν αἰσθανόμεθα ἀλλήλων τοῖς διαφόροις αἰσθητηρίοις κρίνειν, μὴ ἔχοντες[9] τὸ ἀντιλαμβανόμενον αὐτῶν, ὡς εἶπεν ἐν τοῖς περὶ ψυχῆς[10]· τοῦ γὰρ αἰσθανομένου τινῶν τὸ[11] καὶ τὰς διαφορὰς κρίνειν αὐτῶν· ὥσπερ γάρ, εἰ ἄλλος μὲν ἤκουεν, ἄλλος δὲ ἑώρα, οὐχ οἷόν τε κρίνειν τὸν ὁρῶντα τὰ τοῦ[12] ἀκούοντος, οὕτω †δὲ[13] δὴ[14] καὶ ἐφ' ἡμῶν, εἰ[15] ἀπηρτημέναι[16] ἦσαν

[1] om. AMC. — [2] δεῖ ἄρα M. — [3] om. ABC. — [4] αὐταρκὲς corr. B. — [5] om. AMBC. — [6] γινομένου A pr. BC. — [7] τῆς ψυχῆς om. ABC. — [8] ἕτερα τὰ ὧν] ἕτερον τὸ οὗ corr. B. — [9] εἰ add. BC, avec deux points au-dessous C. — [10] III, 2. 426 b 12 et suiv. — [11] om. AC. — [12] τοῦ ἀκούοντος] ἀκούοντα ABC. — [13] Supprimez. — [14] del. M. — [15] om. ABC. — [16] ἀπηρτισμέναι M. ἂν add. AMBC.

XII. 438 b 8-16.] « Non enim in extremo oculi anima aut anime « sensitivum. » Cum dixisset : « Videtur autem quemadmodum et « extra non sine lumine, sic et intrinseco, » causam apponit quare oportet quod intus dyafanum esse, quia non anima et visiva virtus in oculo. Si enim esset in extremitate oculi, non oporteret intrinsecum esse dyafanum. Sufficiens autem esset quod extrinsecum. Quoniam autem non est ibi (esset enim utique et in aliis sensitivis similiter; sic autem non utique esset simul sensus aliquis factus, alia parte anime in alio existente et in alio ordinata, neque utique possemus[1] iudicare quod altera sint ab invicem que sentimus differentibus sensitivis, *** scilicet videns que audientis, sic autem et in nobis *** semote utique es-

[1] possumus.

ALEXANDRE D'APHRODISIAS. — 438 b 8-16.

αἱ δυνάμεις ἀλλήλων), οὐχ οὕτω δὲ ἔχοντος[1] ὁρῶμεν (ὅτι δὲ οὐκ ἐπ' ἄκρου τοῦ ὀφθαλμοῦ ἡ ὁρατικὴ ψυχὴ καὶ ὅτι τὸ μέχρι τῆς δυνάμεως ἐκείνης διαφανές ἐσ7ι, δι' οὗ φωτιζομένου τὸ ὁρᾶν γίνεται, πισ7οῦται καὶ ἐκ τῶν ἀποβαινόντων· τρωθεῖσι γάρ, φησιν, ἐν πολέμῳ τισὶ περὶ τὸν κρόταφον οὕτως, ὥσ7ε ἀποτμηθῆναι τοῦ ὄμματος πόρους, ἐν οἷς τὸ διαφανὲς ἦν[2], ἔδοξεν ἐξαίφνης σκότος γίνεσθαι, ὡς ἀποσβεσθέντος λύχνου, διὰ τὸ ἀποτμηθῆναι ἀπὸ τοῦ μετὰ τὴν κόρην διαφανοῦς τὴν κόρην[3] οὖσαν ὥσπερ τινὰ λαμπτῆρα φωτίζοντα[4], δι' ἧς τὸ ἐντὸς πᾶν μέχρι τῆς ὁρατικῆς[5] δυνάμεως ἐφωτίζετο †ἀπὸ[6] τοῦ ἐκτὸς[7] φωτός, οὗ τὴν συνέχειαν ἡ πληγὴ διελοῦσα καὶ κωλύσασα[8] αὐτὸ φωτίζεσθαι ὥσπερ ἔσβεσε τὸ ἐν αὐτῷ φῶς), εἰ †δὲ[9] μὴ ἄκρῳ †τοῦ[10] ὀφθαλμοῦ ὁρῶμεν, καὶ διὰ τοῦτο δεῖ καὶ τὸ ἐντὸς διαφανὲς εἶναι τὸ μέχρι τῆς αἰσθητικῆς ψυχῆς. †Οὐ[11] διαφανὲς δὲ τὸ πῦρ, ὡς ἡ †ὄψις.

[1] ἔχοντες M. — [2] om. AMBC. — [3] κόραν A. ..αν M. — [4] τὴν κόρην add. M. — [5] ὁρώσης M. ὁρωμένης ABC. — [6] Lisez ὑπὸ. — [7] ἐντὸς A. — [8] κωλύουσα AC. — [9] Lisez δή. — [10] τοῦ ὀφθαλμοῦ] Lisez τῷ ὀφθαλμῷ. — [11] οὐ... ὄψις]. Je ne sais pas ce que signifie ici cette proposition.

---

sent virtutes ab invicem), non sic autem habente videmus (quod autem non in summitate oculi visiva anima et quod dyafanum sit illud quod usque ad virtutem illam, per quod illuminatum fit[1] videre, persuasum est et ex accidentibus; volneratis enim, ait, quibusdam circa timpus, ita ut detruncati essent pori oculi in quibus dyafanum erat, mox tenebre facte sunt, tamquam extincta lucerna, propter intercisionem ab eo quod post pupillam dyafano, pupilla existente velut quadam lampade illuminante pupillam, per quam quod intus totum usque ad virtutem visivam illuminabatur ab extrinseco lumine, cuius continuitatem plaga dividens et prohibens ipsum illuminari quasi extinguit[2] quod in ipso lumen), si autem non summitate oculi videmus, et propter hoc oportet et intrinsecum dyafanum esse quod usque ad sensitivam animam. Non dyafanum autem ignis, quemadmodum visus.

[1] sit. — [2] extinguat.

ALEXANDRE D'APHRODISIAS.
—
438 b 16-21-25.

XIII. 438 b 16-27. « Ὥσϑ'... ἐσϑίν. » (16-21. « Ὥσϑ... ὄσφρησιν. ») Δείξας τὴν ὄψιν ὕδατος οὖσαν, εἰ οὕτω, φησὶν, ἐπὶ τῆς ὄψεως ἔχει καὶ διὰ τοῦτο, καθὰ ἐγλίχοντό τινες, ἕκασϑον αἰσθητήριον ἑκάσϑῳ τῶν σϑοιχείων ἀνατίθεται, τὴν μὲν ὄψιν ὕδατος εἶναι θετέον, τὴν δὲ ἀκοὴν ἀέρος (αὕτη[1] γὰρ[2] ἡ τῶν ψόφων ἀκουσϑική), τὴν δὲ ὄσφρησιν πυρός.

438 b 21-25. « ὅ... πυρός. » †Καὶ[3] πῶς οἷόν τε †προϐιϐάζειν[4] καὶ δεικνύναι[5] ὅτι ἡ ὄσφρησις πυρὸς, λέγει[6] « ὃ[7] γὰρ ἐνεργείᾳ ἡ ὄσφρησις[8], τοῦτο δυνάμει τὸ ὀσφραντικόν[9], » διὰ τοῦτο δεικνὺς οὕτως ἐκ πυρός[10]. Τοὐναντίον γὰρ, ὡς δείξει[11] ἄλλοθι[12], ἡ ἐνέργεια παρὰ τὴν ὄσφρησιν, ἀλλ' οὐ τὸ ὀσφραντικόν[13]. Καίτοι[14] ἐπὶ τῆς ὄψεως †εἰπὼν[15] τὸ ὁρατικόν

[1] αὔτι AM — [2] δὲ B. — [3] Καὶ... ἐκ πυρός om. ABC. Dans M après πυρός on lit : « Hec verba minus [qu]adrare hic videntur i[deo]que adhibui τὸ ☐ σημεῖ[ον τοῦ] ἄλλο τι λείπειν. » A mon avis, il y a beaucoup d'altérations dans tout ce développement Καὶ πῶς... (79, 8) τὸ αὐτό. — [4] Lisez προσϐιϐάζειν. — [5] δει.. .αι M. — [6] ...ει M. — [7] ὁ γὰρ] γὰρ ὅτι M. — [8] ὀσφρη... M. — [9] ὀσφραν...ὸν M. — [10] ...ὸς M. — [11] δείξῃ AM. — [12] ἄλλο τι AMBC. Je ne sais à quel texte d'Aristote Alexandre fait allusion. — [13] ὀσφαντικὸν AM. — [14] καί τι AMC. — [15] Ce mot ne se construit pas. D'ailleurs le sens exige que cette proposition soit placée avant la précédente.

XIII. 438 b 16-27.] « Quare siquidem in hiis accidit quemadmodum « diximus. » (16-21.) Cum ostendisset visum aque esse, vel sicut in visu, ait, et ideo, sicut putaverunt quidam, unumquodque sensitivum unicuique elementorum reponitur, visum quidem aque esse ponendum, auditum autem aeris (hic autem sonorum auditivus), odoratum autem ignis.

438 b 21-25.] Et quomodo possibile affirmare et ostendere quod odoratus sit ignis, dicit « Quod enim actu odoratus[1], hoc potentia « odorativum, » propter hoc ostendens sic ex igne. Contrarium enim, omnis, *** alibi, actus circa odoratum, sed non circa odorativum; quamvis de visu dicens visivum aque esse, et de auditu, aeris, scilicet sonorum sensitivum. Est autem quod dicit, « quod est secundum

[1] odoratur.

ALEXANDRE D'APHRODISIAS. — 438 b 21-25.

ὕδατος εἶναι καὶ ἐπὶ τῆς ἀκοῆς ἀέρος τὸ τῶν ψόφων αἰσθητικόν. Ἔσἰι δὲ ὃ λέγει[1] « ὅ[2] ἐσἰι κατ' ἐνέργειαν ἡ ὄσφρησις, τοῦτο δυνάμει[3] τὸ ὀσφραντικόν » ***[4] Δυνάμει γὰρ τὰ ὁρατὰ ἡ ὄψις πρὸ τοῦ ὁρᾶν, καὶ δυνάμει τὰ ἀκουσἰὰ ἡ ἀκοὴ πρὶν ἀκούειν, καὶ ἡ ὄσφρησις οὖν δυνάμει τὰ ὀσφραντὰ[5] πρὶν ὀσφρᾶσθαι. Ἡ γὰρ κατ' ἐνέργειαν ὄσφρησις τὸ[6] ὀσφραντόν ἐσἰιν, ἐπεὶ ὃ μὲν ἐνεργείᾳ ἡ ὄσφρησίς ἐσἰι, τοῦτο δυνάμει τὸ ὀσφραντικόν[7]. Ἡ δ' ἐνεργείᾳ ὄσφρησις ἡ αὐτὴ τῷ κατ' ἐνέργειαν ὀσφραντῷ· †τὸ[8] γὰρ ὀσφραντὸν καὶ ἡ κατ' ἐνέργειαν ὄσφρησις[9] τὸ† αὐτό. Ἀλλὰ μὴν τὸ ὀσφραντὸν καὶ ἡ ὀσμή, ἧς ἡ[10] ὄσφρησις ἀντιλαμβάνεται[11], ξηρὰ καὶ καπνώδης ἐσἰὶν ἀναθυμίασις· †ἡ[12] δὲ τοιαύτη ἀνάθυμίασις πυρώδης τε καὶ ἐκ †πυρός· τοῦτο δὲ δῆλον ἔκ τε τῶν τεθυμιαμένων (ὀσμὴν γὰρ τότε μάλισἰα ποιεῖ), καὶ τὰ ἄνθη δὲ ἐν θερμοτέροις τόποις πλείονα τὴν ὀσμὴν ποιεῖ, ὥσπερ τινὸς ἀναθυμιάσεως γενομένης ἀπ'[13] αὐτῶν.

[1] λέγη AM. — [2] ὅτι AMC. — [3] δυνάμει τὸ ὀσφραντικὸν] om. ABC. ὃ δυνάμει ἐσἰὶ τὸ ὀσφραντικὸν M. — [4] Il manque sans doute quelque chose. — [5] τὰ ὀσφραντὰ] ὀσφραντικὴ AMBC. — [6] τὸ... μὲν] ..φραντικόν ἐσἰιν, ὥσπερ ἡ κατ' ἐ...γειαν ὄψις τό ὁρατόν, εἴγε ..τῶν ἰδόντων αἰσθητὸν λήψει τὸ ..σθάνεσθαι, καὶ εἴη ἂν ὃν τὸ ..ὸν ἐνεργείᾳ ἡ ὄσφρησις τοῦτο ..υνάμει τὸ ὀσφραντὸν ἀέρι M. — [7] ὀσφραντόν ABC del. M. — [8] τὸ γάρ... αὐτὸ] Répétition de (79, 5-6) ἡ γάρ... ἐσἰιν. — [9] αἴσθησις AC. — [10] om. B. — [11] ἀντιλαμβάνηται AM. — [12] ἡ... πυρός]. Transposez après (79, 13) αὐτῶν. — [13] ἐξ AMC.

« actum odoratus, hoc est potentia odorativum : » potentia enim visibilia visus ante[1] videre, et potentia audibilia auditus ante audire, et odoratus potentia odorabilia ante[2] odorare. Secundum actum enim odoratus odorabilę est, quoniam quod quidem actu odoratus est, hoc potentia odorativum. Actu autem odoratus idem secundum actum odorabili; odorabile enim et secundum actum odoratus idem. At vero odorabile et odor, quem odoratus suscipit, siccus et fumalis est evaporatio; talis autem evaporatio ignea et ex igne; hoc autem palam ex hiis que vaporant (odorem enim tunc maxime faciunt); et flores autem in calidiori aere ampliorem odorem faciunt, velut quadam evaporatione

[1-2] autem.

διὰ γὰρ τῆς τοιαύτης ἀναθυμιάσεως ἡ εἰς πῦρ μεταβολή. Ἐρεῖ[1] δὲ προϊὼν περὶ τοῦ τί ποτέ ἐσ7ι τὸ ὀσφραντόν ***[2] τοιαύτη γὰρ καὶ ἡ κατ' ἐνέργειαν ὄσφρησις.

438 b 25-27. « Διὸ... ἐστίν. » †Προϐιϐάζων[3] δὲ[4] πῶς ἂν τις τὴν ὄσφρησιν τοῦ πυρὸς εἶναι λέγοι[5] βουλόμενος ἕκασ7ον αἰσθητήριον ἑκάσ7ῳ τῶν σ7οιχείων ἀνατιθέναι (οὐ γὰρ δὴ ἀρέσκοντα αὐτῷ λέγει· εἶπε γὰρ ἐν τοῖς περὶ ψυχῆς[6] μήτ' ἐκ πυρός μόνου μήτ' ἐκ γῆς δύνασθαι εἶναί τι αἰσθητήριον, καὶ τὴν †τε[7] ὄσφρησιν ἐν ἐκείνοις[8] ἀνέθηκεν ἢ ἀέρι ἢ ὕδατι), φησὶ δὴ[9] καὶ κατὰ τοῦτο δύνασθαι δείκνυσθαι τὴν ὄσφρησιν πυρὸς[10] οὖσαν, ὅτι τὸ τῆς ὀσφρήσεως αἰσθητήριον περὶ τὸν ἐγκέφαλόν ἐσ7ι. Δεῖ μὲν γὰρ τὴν τοῦ θερμοῦ ὕλην ψυχρὰν εἶναι, ψυχρότερος δὲ ὁ ἐγκέφαλος τῇ αὑτοῦ φύσει. Τοιαύτη ἄρα καὶ ἡ δυνάμει ὄσφρησις[11] καὶ τὸ[12] δυνάμει ὀσφραντικόν. Ἀλλ' εἰ τὸ δυνάμει τι ὂν ὕλη

[1] 444 a 24. — [2] Il manque sans doute quelque chose comme ὅτι ἡ τῆς ὀσμῆς δύναμις θερμὴ τὴν φύσιν ἐσ7ί. Ἡ ὄσφρησις οὖν πυρός, εἰ πυρὸς τὸ ὀσφραντόν. — [3] Lisez προσϐιϐάζων. — [4] del. M. — [5] λέγει AMC. λεγ B. — [6] Arist. *De An.* III, 1. 425 a 5-8. — [7] Lisez γε. — [8] III, 1. 425 a 5. — [9] δὲ ABC. — [10] πυρὸς οὖσαν] προσοῦσαν AC. — [11] αἴσθησις AMC. — [12] τὰ A.

---

facta ab ipsis; per talem enim evaporationem in ignem permutatio. Dicet[1] autem progrediens de hoc videlicet quid est odorabile: talis enim et secundum actum odoratus.

438 b 25-27.] Confirmans autem qualiter utique quis odoratum ignis esse dicet volens unumquodque sensitivum unicuique elementorum reponere (non enim itaque[2] placentia ipsi dixit; dicit enim in hiis que de anima neque ex igne solo neque ex terra posse esse sensitivum, et odorativum quidem in illis reposuit aut aeri aut aque), ait itaque et secundum hoc posse odoratum ignis esse, quia odoratus sensitivum circa cerebrum est. Oportet enim quidem calidi materiam frigidam esse, frigidius autem cerebrum propria natura. Talis igitur et potentia *** et potentia odorativum. Sed si potentia ali-

[1] dicit. — [2] utique.

ἐκείνου †*οὗ*[1] *δυνάμει, δυνάμει δὲ καὶ ἡ ὄσφρησις τὸ ὀσφραντὸν* ***[2] *εἴη ἂν ὕλη τοῦ ὀσφραντοῦ*[3], *ὕλη δὲ τὸ ψυχρὸν τοῦ θερμοῦ, καὶ ἔσ͞τι ψυχρὸν τὸ ὀσφραντικὸν τῷ*[4] *ἀπὸ τοῦ ἐγκεφάλου τε καὶ περὶ τὸν ἐγκέφαλον εἶναι, τὸ ὀσφραντὸν ἄρα θερμόν.* Εἰ[5] *δὲ τοῦτο, ἡ κατ' ἐνέργειαν ὄσφρησις*[6] *θερμή τε καὶ διὰ θερμοῦ γινομένη παρουσίαν.* Καὶ *οὕτως ὁ λέγων τὴν ὄσφρησιν πυρὸς εἶναι εὖ ἂν δοκοίη λέγειν.* « Δυνάμει *γὰρ θερμὴ ἡ τοῦ ψυχροῦ ὕλη ἐσ͞τίν* » *ἀντὶ τοῦ* « *ἡ*[7] *ἐκ τοῦ ψυχροῦ.* » Οὐ *τὸ αἰσθητήριον οὖν δείκνυσι πυρὸς, ὅτι ἡγεῖται*[8] *τὴν ἀρχὴν ἀδύνατον τοῦτο, ἀλλὰ τὸ ὀσφραντὸν καὶ τὴν κατ' ἐνέργειαν ὄσφρησιν*[9].

XIV. 438 b 27-439 a 5. « Καὶ... *διωρισμένα.* » (438 b 27-30. « Καὶ... *ἐστίν.* ») Λέγει *δὲ καὶ τὴν τοῦ ὄμματος γένεσιν τὸν αὐτὸν ἔχειν τρόπον.* Ἀπὸ[10] *γὰρ τοῦ ἐγκεφάλου τὴν σύσ͞τασιν ἔχει, ὃς ὑγρότατός τε καὶ ψυχρότατος τῶν ἐν τῷ*[11] *σώματι μορίων ἐσ͞τί.* Τοιοῦτον *δὲ τὸ*

[1] Lisez *ὃ*. — [2] Suppléez *ὄν*. — [3] *ὀσφραντικοῦ* AMBC. — [4] *τὸ* ABC. — [5] *ἡ* AC. — [6] *αἴσθησις* ABC. — [7] om. AMC. — [8] om. AMC. — [9] *αἴσθησιν* AC. — [10] *ἀπὸ γὰρ*] *εἰ δὲ ἀπὸ* M. — [11] om. ABC.

---

quid ens materia illius ***, potentia autem et odoratus et odorabile erit utique materia odorabilis, frigidum autem materia calidi, et est odorativum frigidum eo quod a cerebro et circa cerebrum fit, odorabile igitur calidum. Si autem hoc, secundum actum odoratus calidus et propter calidi presentiam factus. Et sic dicens odoratum esse ignis bene utique videbitur dicere. « Potentia enim calida frigidi materia « est » pro hoc scilicet « que ex frigido. » *** sensitivum igitur ostendit[1] ignis, quia estimatur a principio impossibile hoc, sed odorativum et secundum actum odorem.

XIV. 438 b 27-439 a 5.] (438 b 27-30.) Dicit autem et oculi generationem eundem habere modum. A cerebro enim consistentiam habet, quod humidissimum et frigidissimum est eorum que in corpore partium. Talis autem aqua, per quam visus a cerebro genera-

[1] ostendat.

ALEXANDRE D'APHRODISIAS. — 438 b 27-30.

ὕδωρ, δι' οὗ ἡ ὄψις. ***[1] ἀπὸ τοῦ ἐγκεφάλου τὴν γένεσιν ἔχει οὐ πυρός, ἀλλ' ὕδατός εἰσι, δηλονότι οὐδ' ἂν ἡ ὄσφρησις πυρός, εἴγε ἐξ ἐκείνων[2] εἴη. Προελθὼν μέντοι λέγει[3] διὰ τοῦτο εἶναι τὴν ὄσφρησιν καὶ τὸ αἰσθητήριον τοῦτο περὶ τὸν ἐγκέφαλον, ὅπως[4] εἰς συμμετρίαν αἰσθήσεως ἄγηται ὁ περὶ τὸν ἐγκέφαλον τόπος. Τὰ γὰρ ὀσφραντικὰ καὶ ἡ ὀσμὴ θερμά· τοιαύτη γὰρ ἡ καπνώδης ἀναθυμίασις. Ἀλλ' εἴ τις ἕποιτο τοῖς †ὁρωμένοις[5], λέγοι ἂν ὁμοίως τῇ ὀσφρήσει καὶ τὴν ὄψιν εἶναι θερμοῦ τε καὶ πυρός, εἴγε τὸ μὲν ψυχρὸν ὕλη ἐστὶ τῶν ὁρατῶν, τούτοις[6] δὲ ἡ αὐτή ἐστι κατ' ἐνέργειαν ὄψις, [ὥσπερ[7]] καὶ τοῖς[8] ὀσφραντοῖς ἡ ὄσφρησις. Ἀλλὰ δῆλον ***[9] ὡς †ἄλλως[10] ἐπιχειρῶν ταῦτα λέγει, οὐχ ὡς ἀρεσκόμενος αὐτοῖς. Ἢ ἀμφότερα μὲν περὶ τὸν ἐγκέφαλον ψυχρὸν ὄντα, ἀλλὰ τὸ μὲν ὀσφραντικόν, ᾗ ψυχρόν ἐστιν, ὀσφραντικόν· διὸ καί, ᾗ τοιοῦτον αἰσθητικόν, δυνάμει καὶ θερμόν· τὸ δὲ ὁρατικὸν οὐχ, ᾗ ψυχρόν,

[1] Il manque peut-être quelque chose comme Ἀλλὰ μὴν ἐπεὶ ὅσα. — [2] ἐκείνης AMBC. — [3] 444 a 28-b 2. — [4] ὅπερ pr. B. — [5] Lisez εἰρημένοις. — [6] τούτων AMBC. — [7] om. AMBC. — [8] τοῖς ὀσφραντοῖς] τοῦ ὀσφραντοῦ M. — [9] Suppléez ὅτι. — [10] Lisez ἄλλοις.

---

tionem habens non ignis, sed aque sunt, palam quia neque odoratus ignis, si quidem[1] ex illis sit. Procedens tamen propter hoc dicit esse odoratum et sensitivum hoc circa cerebrum, ut ad commensurationem sensus ducatur qui[2] circa cerebrum locus. Odorabilia enim et odor calida; talis enim fumalis evaporatio. Sed si quis sequatur ea que videntur, dicet[3] utique similiter odoratui et visum esse calidi et ignis, si[4] frigidum quidem materia est visibilium, hiis autem idem est secundum actum visus, sicut odorabilibus odoratus. Sed palam quod aliter argumentans hec ipsa dicit, non quare placeant ipsi. Si ambo quidem circa cerebrum frigidum existentem; sed odorativum quidem, in quantum frigidum est, odorativum; propter quod et erit tale sensitivum potentia et calidum; visivum autem non, in quantum frigi-

[1] quis. — [2] que. — [3] dicit. — [4] sic quia.

ὁρατικόν, ἀλλ' ᾗ ὑγρὸν καὶ διαφανές· διαφανοῦς γὰρ ἐνέργεια τό τε φῶς καὶ τὸ χρῶμα.

ALEXANDRE D'APHRODISIAS. — 438 b 30 - 439 a 1.

438 b 30-439 a 1. « τὸ δ'... ἐστίν. » Τὴν δὲ ἀφὴν ἀναθετέον, φησὶ, τῇ γῇ, ὁμοίως δὲ καὶ τὸ γευστικὸν ὄργανον, ἐπεὶ ἡ γεῦσις ἀφῆς τι εἶδος, ὡς εἶναι τῶν τεσσάρων σωμάτων, γῆς μὲν τὰς δύο, ἀφήν τε καὶ γεῦσιν, ὕδατος δὲ τὴν ὄψιν, ἀέρος δὲ τὴν ἀκοήν, πυρὸς δὲ τὴν ὄσφρησιν. Ὅτι δὲ μὴ ἀρεσκόμενος ταύτῃ τῇ δόξῃ, ἀλλὰ πιθανολογῶν τίθησι, πρόδηλον. Ἔδειξε[1] γὰρ ὅτι μὴ οἷόντε ἐκ γῆς εἶναί τι[2] αἰσθητήριον· καὶ διὰ τοῦτο τῶν ἐν ἡμῖν[3] ὅσα πλέον γῆς ἔχει[4] ἀναίσθητα † εἶναι[5], ὡς τρίχας, ὄνυχας, ὀστᾶ. Ἀλλὰ καὶ τὴν γεῦσιν ἐν ὑγρότητι καὶ δι' ὑγρότητα γινομένην ἔδειξεν[6]. Ἢ οὐδὲ νῦν τὰ αἰσθητήρια ἐκ[7] γῆς φησιν[8] † ὄντα[9], ἀλλὰ τὰς ἐνεργείας αὐτῶν τοιαύτας γίνεσθαι, ὃν τρόπον ἔδειξε καὶ ἐπὶ τῆς ὀσφρήσεως.

[1] Arist. *De An.* III, 1. 425 a 6. — [2] τὸ AMBC. — [3] ὑμῖν AMC. — [4] ἔχῃ AM. — [5] Lisez ἐστιν et ensuite τρίχες, ὄνυχες — [6] Arist. *De An.* II, 10. 422 a 17. — [7] ἐν A. — [8] εἰσιν ABC. — [9] Lisez εἶναι.

---

dum, visivum, sed in quantum humidum et dyafanum; dyafani autem actus et lumen et color[1].

438 b 30-439 a 1.] Tactum autem reponendum aiunt terre, similiter autem et gustativum organum, quoniam gustus quedam species tactus, tamquam sit quatuor corporum, terre quidem duo, scilicet gustus et tactus, aque autem visum, aeris autem auditum, ignis autem odoratum. Quod autem sibi non placeat hec opinio, sed tamquam persuasive loquens ponit, evidens est. Ostendit enim quod non est possibile ex terra esse aliquod sensitivum, et propter hoc eorum que in nobis quecumque plus terre habent insensibilia esse, ut pilos, ungues, ossa. Sed et gustum in humiditate et per humiditatem fieri ostendit. Aut neque nunc sensitiva ex terra sunt entia, sed operationes[2] ipsorum tales fieri, quemadmodum ostendit, et etiam odoratus[3].

[1] calor. — [2] opiniones. — [3] odoratur.

ALEXANDRE D'APHRODISIAS.
—
439 a 1-5.

439 a 1-5. « καὶ...διωρισμένα. » Ἔτι δὲ πιθανολογῶν[1] καὶ δεικνὺς πῶς ἄν τις ἐπιχειρήσειεν[2] πρὸς τὸ ἑκάστην αἴσθησιν ἑκάστου τῶν στοιχείων εἶναι καὶ ἐξ οὗ, προστίθησι λέγων· « καὶ διὰ...μορίων. » Εἰπὼν γὰρ ἐκ πυρὸς τὴν ὄσφρησιν εἶναι καὶ διὰ τοῦτο περὶ τὸν ἐγκέφαλον εἶναι τὸ τῆς ὀσφρήσεως ἴδιον αἰσθητήριον (ὕλη γὰρ τὸ ψυχρὸν τῷ θερμῷ, ἐπεὶ καθόλου τὸ ἐναντίον τῷ ἐναντίῳ ὕλη· θερμὴ δὲ ἡ[3] ὄσφρησις, εἴγε τῆς καπνώδους ἀναθυμιάσεως), πάλιν[4] †δὲ[5] διὰ τοῦτο τὰ τῆς ἀφῆς τε[6] καὶ τῆς γεύσεως ὄργανα εἶναι περὶ τὴν καρδίαν φησίν[7], ὡς τούτων μὲν τῶν αἰσθητηρίων ὄντων θερμῶν τῇ αὐτῶν φύσει (ἡ γὰρ σὰρξ οὐ τοιαύτη), τῆς δὲ ἐνεργείας αὐτῶν περὶ ψυχρὰ γενομένης μᾶλλον, εἴγε γῆς καὶ τῶν ἀντιτυπίαν[8] ἐχόντων γεωδῶν μάλιστα ἡ ἀφὴ ἀντιλαμβάνεται. Οὐδὲ τοῦτο †δὲ[9] ὑγιῶς δόξει λέγεσθαι. Οὐδὲ γὰρ ἡ ἀφὴ γῆς, ὡς

[1] πιθανολογεῖ ABC. — [2] ἐπιχειρήαν A. ἐπιχειρήση B. ἐπιχειρῇ C. — [3] om B. — [4] πάλιν δέ] om. AMC. παφα .... B. — [5] Lisez δή. — [6] om. ABC. — [7] om. ABC. — [8] ἀντιτύπων AC. ἀντιτύπως B. — [9] Lisez δή.

---

439 a 1-5.] Adhuc autem persuasive loquens et ostendens quomodo utique quis conabitur[1] ad probandum unumquemque sensum esse uniuscuiusque elementorum et ex quo, apponit dicens[2]: « Et propter hoc apud cor sensitivum ipsorum, scilicet gustus et « tactus; opponitur enim cerebro istud et est calidissimum partium. » Cum dixisset enim ex igne odoratum esse et propter hoc circa cerebrum esse odoratus proprium sensitivum (materia enim frigidum calido, quoniam universaliter contrarium materia contrario; calidus autem odoratus, si quidem[3] fumalis evaporationis), iterum autem propter hoc tactus et gustus organa esse circa cor, tamquam hiis quidem sensitivis existentibus calidis propria natura (caro enim non talis), operatione autem ipsorum facta circa frigida magis, siquidem terre[4] et contrarietatem habentium terrestrium maxime tactus susceptivus est. Hoc autem sane videbitur dici. Neque enim tactus terre, ut dixit

[1] sensum *add.* — [2] dicit. — [3] quique. — [4] terre et contrarietatem] contrarietas et terre.

ALEXANDRE D'APHRODISIAS. — 439 a 1-5.

εἶπε ϖρὸ ὀλίγου ϖερὶ ὀσφρήσεως λέγων[1] « ϖυρὸς δὲ τὴν ὄσφρησιν· » ἀλλ' εἶπε[2] « τὸ δὲ ἁπτικὸν γῆς, » τὸ αἰσθητήριον οὕτω γῆς λέγων. Οὐ[3] θερμὸν δὲ ἡ γῆ. Μήποτε οὖν οὐχ ὡς ὁμοίων οὐσῶν τῶν αἰσθήσεων καὶ κατὰ τὸν αὐτὸν λόγον ϖρὸς[4] τῇ καρδίᾳ, καθ' ὃν[5] ϖρὸς[6] τῷ ἐγκεφάλῳ ἥ τε ὄσφρησις καὶ ἡ ὄψις, λέγει, ἀλλ' ὅτι ὁμοίως[7] ὥσπερ ***[8] ἐκείνῳ ὄντι ψυχροτάτῳ τῶν ἐν σώματι μορίων ἥ τε ὄσφρησις καὶ ἡ ὄψις, οὕτω ϖρὸς[9] τῇ καρδίᾳ ἥ τε ἁφὴ καὶ ἡ γεῦσις[10] οὔσῃ[11] θερμοτάτῃ[12] τῶν μορίων· θερμὴ γὰρ ἡ καρδία καὶ κατὰ τοῦτο ἀντικειμένη τῷ ἐγκεφάλῳ. Διὸ ἐκεῖνος μὲν ὕλη τῷ θερμῷ, ἡ δὲ καρδία τῷ ψυχρῷ[13]. Περὶ τὸν ἐγκέφαλον δὲ λέγων[14] αἰσθητήριά τινα εἶναι, οὐκέτι[15] ἤδη καὶ τὴν αἰσθητικὴν ψυχὴν τὴν διὰ τούτων αὐτοῦ[16] λεγει εἶναι. Διὰ γὰρ τοῦτο εἰπὼν « διὸ καὶ[17] ϖερὶ τὸν ἐγκέφαλον » ϖροσέθηκε « τῷ τόπῳ. » Μίαν

[1] 438 b 20. — [2] 438 b 30. — [3] καὶ ABC. — [4] ϖερὶ ABC. — [5] ἡ add. AMBC. — [6] ϖερὶ ABC. — [7] ὅμοιον AMBC. — [8] Suppléez ϖρὸς. — [9] ϖερὶ ABC. — [10] ὄψις AC. — [11] οὖσα AC. οὖσαι M. — [12] θερμοτάτη AMBC. — [13] οὐκέτι add. ABC. — [14] λέγει ABC. — [15] om. ABC. — [16] αὐτῷ ABC. avec ῷ pointé M. — [17] om. ABC.

paulo ante de odoratu, dicens : « Ignis autem odoratum; » sed dixit « sensitivum autem terre » sensitivum sic[1] terre dicens. Non calidum autem terra. Ne igitur forte non ut similibus existentibus sensibus neque secundum eandem rationem apud cor, secundum quam apud cerebrum et odoratus et visus, dicit, sed quia similiter sicut illo existente frigidissimo earum[2] que in corpore partium odoratus et gustus, sic apud cor tactus et gustus, corde dico existente calidissimo partium[3]; calidum enim cor et qui secundum hoc opponitur cerebro. Propter quod illud quidem materia calido, cor autem frigido. Non adhuc circa cerebrum autem dicit sensitiva quedam esse, iam et sensitivam animam et per hec[4] ibi dicit esse. Propter hoc enim dicens « propter hoc et circa cerebrum » apposuit « loco. » Unam enim numero sensitivam animam dicit, et hanc in corde dicit. Et propter hoc neque que

[1] sit. — [2] eorum. — [3] enim *add.* — [4] hoc.

γὰρ τῷ ἀριθμῷ τὴν αἰσθητικὴν ψυχὴν λέγει, καὶ ταύτην ἐν τῇ καρδίᾳ λέγει[1]. Διὸ οὐδὲ τὰ πρὸς τῷ ἐγκεφάλῳ ὄργανα αἰσθητικὰ ἀπὸ τούτου τὴν ἀρχὴν ἔχει· ἀλλ' ἄρχεται μὲν ἀπὸ τῆς καρδίας, διὰ δὲ τούτου[2] πρώτου[3] ἡ ὁδὸς αὐτοῦ. Ἀπὸ γὰρ τῆς καρδίας πόροι τινὲς ἐπὶ τὸν ἐγκέφαλον διατείνουσι τρεῖς· εἶτα ἀπὸ τοῦ ἐγκεφάλου ὁ μὲν αὐτῶν[4] ἐπὶ τὴν ὄψιν, ὁ δ' ἐπὶ τὴν ἀκοήν, ὁ δ' ἐπὶ τὴν ὄσφρησιν, καθήκουσιν. Οἱ δὲ τῆς ἀφῆς καὶ τῆς γεύσεως ἐξῆς[5] ἐπὶ τὴν καρδίαν ἐπ' εὐθείας[6] τέτανται, ἀλλ' οὐ διὰ τῆς ἐπὶ τὸν ἐγκέφαλον ὁδοῦ.

XV. 439 a 6-12. « Περὶ... χρώματος. » Εἰπὼν δὲ ταῦτα περὶ τῶν αἰσθητηρίων, εὐθὺς[7] ἐπὶ τὸν τῶν αἰσθητῶν μέτεισι λόγον τῶν καθ' ἕκαστον αἰσθητήριον[8]· οὐ γὰρ περὶ τῶν κοινῶν αἰσθητῶν νῦν λέγει. Καθόλου μὲν οὖν τί τὸ ἔργον αὐτῶν ἐστιν ἑκάστῳ ἐν τοῖς περὶ ψυχῆς φησιν εἰρῆσθαι[9]. † Τίνες[10] δέ εἰσιν οἱ καθόλου περὶ αὐτῶν λόγοι † προστίθησιν[11]. Ὅτι γὰρ τὸ διατιθέναι πως τήν τε αἴσθησιν καὶ τὸ αἰσθητήριον,

[1] Arist. *De Vita*, 3. 469 a 5. — [2] τούτῳ A. — [3] πρώτῃ M. — [4] αὐτῷ ABC. — [5] om. ABC. — [6] ἐπευθείας AMB. — [7] εὐθὲς A. — [8] αἰσθητηρίων AMBC. — [9] Arist. *De An.* II, 12. 424 a 17-24. — [10] Τίνες δὲ... προστίθησιν est une annotation marginale, qui annonce ce qu'Alexandre va dire. — [11] προτίθησιν B.

---

apud cerebrum organa[1] sensitiva ab hoc principium habent; sed incipit quidem a corde, per hoc autem primum via illuc. Ibi enim quidam pori cordis ad cerebrum protenduntur tres; deinde a cerebro hic quidem ipsorum ad visum, hic autem ad auditum, hic[2] autem ad odoratum descendit. Qui autem tactus et gustus mox ad cor in directum tendunt, sed non per viam que ad cerebrum.

XV. 439 a 6-12.] Et cum dixisset ista de sensitivis, deinde transit ad sermonem de sensibilibus hiis que secundum unumquodque sensitivum; non enim de communibus sensibus nunc dicit. Universaliter quidem igitur quod opus ipsorum uniuscuiusque est in hiis que de anima ait dictum esse. Que[3] autem sunt universales de ipsis rationes apponit. Quia enim disponi aliqualiter sensitivum et sensum, et quia

[1] orgona. — [2] hoc. — [3] quod.

ALEXANDRE D'APHRODISIAS.
—
439 a 6-12.

καὶ ὅτι τὸ ἐνεργεῖν καθ' ἕκαστον τῶν αἰσθητηρίων τό τε εἶδος τῶν αἰσθητῶν χωρὶς τῆς ὑποκειμένης ὕλης αὐτοῖς δέχεσθαι ***[1], καὶ ὅτι ἡ κατ' ἐνέργειαν αἴσθησις καὶ τὸ αἰσθητὸν τὰ αὐτά, περὶ τούτων προείρηται. Τί[2] δέ ποτε ἕκαστον ***[3] τῶν ἑκάστῃ[4] αἰσθήσει[5] αἰσθητῶν αἰσθητὸν τῇ οἰκείᾳ αἰσθήσει γίνεται, νῦν λέγει τε καὶ προστίθησι[6] τὴν ἑκάστου αὐτῶν[7] φύσιν τίς ποτέ ἐστι δεικνύς, ἐπεὶ μὴ ταὐτὸν[8] αὐτοῖς τό τε εἶναι καὶ τὸ αἰσθητοῖς εἶναι. Κοινὸν μὲν οὖν τὸ αἰσθητόν, περὶ οὗ εἴρηται (τὸ γὰρ ***[9] αἰσθήσει ἀντιληπτόν), ἴδιον δὲ ἑκάστου ἡ οἰκεία φύσις τε καὶ οὐσία, καθ' ἣν διαφέροντα ἕτερά τε ἀλλήλων ἐστὶ καὶ οὐ τῇ αὐτῇ αἰσθήσει αἰσθητὰ πάντα. Τὸ δὲ « ὁμοίως καὶ περὶ ἁφῆς ἐπισκεπτέον » εἶπεν ἀντὶ τοῦ « περὶ ἁπτοῦ. » Τοῦτο γάρ ἐστι[10] τὸ αἰσθητόν, ἡ δὲ ἁφὴ αἴσθησις. Καὶ πρῶτόν γε περὶ χρωμάτων εἰπεῖν προτίθεται, ἅ ἐστι τῇ ὄψει αἰσθητά.

[1] Suppléez d'après Aristote (*De An.* II, 12. 424 a 21-24) καὶ ὑπ' αὐτῶν πάσχειν κατὰ λόγον τινά. — [2] ὅτι M. — [3] Suppléez ὄν. — [4] ἑκάστης M. — [5] αἰσθήσεως AMBC. — [6] προτίθησι B. — [7] αὐτοῦ AC. — [8] τὰ αὐτὰ ABC. — [9] Il manque sans doute αἰσθητόν. — [10] om. B.

---

operari secundum unumquodque sensitivorum et speciem sensibilium sine subiecta ipsis materia, et quia secundum actum sensus et sensibile eadem, de hiis predictum est. Quid autem unumquodque sensibilium unicuique sensui sit sensibile proprie[1] *** natura que quidem est ostendens, quoniam non idem ipsis et esse et sensibilia esse. Commune quidem igitur sensibile, de quo dictum est (sensu enim susceptibile), proprium autem uniuscuiusque propria natura et substantia, secundum quam differentia alteraque ab invicem sunt et non eodem sensu sensibilia omnia. Hoc autem « similiter et de tactu considerandum » dixit pro[2] hoc scilicet « de tangibili. » Hoc enim sensibile, tactus autem sensus. Et primo quidem de coloribus dicere proponit, que sunt visui sensibilia.

[1] prope. — [2] per.

439 a 12-17. « Ἔστι... λέγωμεν. » « Ἔστι μὲν οὖν ἕκαστον διχῶς λεγόμενον, τὸ μὲν ἐνεργείᾳ, τὸ δὲ δυνάμει †λεγόμενον[1]. » Εἴρηται δὲ ἡ διαίρεσις αὕτη ἐν τοῖς περὶ ψυχῆς[2]. Τὸ μὲν οὖν ἐνεργείᾳ αἰσθητὸν πῶς[3] ταὐτὸν τῇ κατ' ἐνέργειαν αἰσθήσει καὶ πῶς ἕτερον ἐν τοῖς περὶ ψυχῆς φησιν[4] εἰρῆσθαι. Εἴρηται[5] δὲ ὅτι τῷ μὲν ἀριθμῷ ἓν τὸ κατ' ἐνέργειαν αἰσθητὸν καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις, τῷ λόγῳ δὲ ἕτερα. Ἄλλο δέ ἐστι τῷ λόγῳ ***[6] κατ' ἐνέργειαν αἰσθήσει εἶναι καὶ ἄλλο κατ' ἐνέργειαν αἰσθητῷ. Ἀντὶ δὲ[7] τοῦ ταῦτα εἰπεῖν φησι[8] « τὸ μὲν οὖν ἐνεργείᾳ[9] χρῶμα καὶ ὁ ψόφος πῶς[10] ἐστι τὸ αὐτὸ ἢ ἕτερον ταῖς κατ' ἐνέργειαν αἰσθήσεσιν. » Οὐ γὰρ τὸ κατ' ἐνέργειαν χρῶμα ταὐτόν ἐστι τῇ κατ' ἐνέργειαν ὄψει, οὐδὲ ὁ κατ' ἐνέργειαν ψόφος ὁ αὐτὸς τῇ ἀκοῇ. Δύναται γὰρ ἐνεργείᾳ[11] ταῦτα εἶναι καὶ μὴ ὁρώμενα[12] ***[13]· ἀλλ' οὐκέτι οἷόντε ἐνεργείᾳ αὐτοῖς αἰσθητοῖς εἶναι χωρὶς αἰσθήσεως. Ἔστιν οὖν τὸ λεγόμενον· « τὸ μὲν οὖν ἐνεργείᾳ χρῶμα αἰσθητὸν καὶ ὁ[14]

[1] Effacez. — [2] Arist. *De An.* III, 2. 426 a 23. — [3] πως καὶ AMBC. — [4] om. AC. — [5] Arist. *De An.* III, 2. 425 b 25-27. — [6] Suppléez τὸ. — [7] om. ABC. — [8] Après ce mot, blanc de quatre lettres AC. — [9] Après ce mot, blanc de sept lettres A, de cinq C. — [10] πῶς... αἰσθήσεσιν om. BAC, avec un blanc de dix lettres A, de huit C. — [11] om. AC. — [12] ὁρόμενα AM. — [13] Suppléez μηδὲ ἀκουόμενα. — [14] om. AMC.

---

439 a 12-17.] « Est quidem igitur unumquodque dupliciter dictum hoc quidem actu, hoc autem potentia dictum. » Dicta est autem divisio hec in hiis que de anima. Quod quidem igitur actu sensibile quomodo idem secundum actum sensui et quomodo alterum in hiis que de anima ait dictum esse. Dictum est autem quia numero quidem unum *** secundum actum sensus, ratione autem altera. Aliud autem est ratione secundum actum sensus esse et aliud secundum actum sensibile. Pro dicere autem hec *** « actu quidem igitur et color et sonus. » Non enim secundum actum color idem est secundum actum visui, neque secundum actum sonus idem auditui. Possunt enim actu eadem esse et non visa; sed non adhuc possibile ipsa sensibilia esse sine sensu. Est igitur quod dicitur « actu quidem igitur color sensibile et actu[1] sonus

[1] actus.

ἐνεργείᾳ ψόφος αἰσθητὸς[1] πῶς ἐσʈι ταὐτὰ τὸ μὲν τῇ κατ' ἐνέργειαν ὄψει, τὸ δὲ τῇ κατ' ἐνέργειαν ἀκοῇ, καὶ κατὰ τί ἕτερα, ἐν τοῖς περὶ ψυχῆς εἴρηται.» Ἐδήλου δὲ τοῦτο διὰ τοῦ εἰπεῖν «ταῖς κατ' ἐνέργειαν αἰσθήσεσι·» ταύταις γὰρ τὰ κατ' ἐνέργειαν αἰσθητὰ ἀντίκειται. Τί δὲ ὂν ἕκασʈον αὐτῶν, τό τε χρῶμα καὶ ὁ ψόφος καὶ ἕκασʈον τῶν κατὰ τὰς ἄλλας αἰσθήσεις ὁμοίως, δυνάμει ἐστὶν[2] αἰσθητὸν[3] (διὰ γὰρ τοῦ εἰπεῖν «ποιήσει τὴν αἴσθησιν καὶ τὴν ἐνέργειαν» τὸ δυνάμει αἰσθητὸν ἐδήλωσεν), ὅπερ ἦν τὸ ἕτερον τῶν εἰς ἃ ἡ διαίρεσις αὐτῷ τοῦ αἰσθητοῦ ἐγεγόνει, περὶ οὖν τοῦ οὕτως αἰσθητοῦ νῦν, φησι, λέγωμεν, τοῦτ' ἐσʈι τοῦ δυνάμει.

XVI. 439 a 18-25. «ὥσπερ... ἧτʈον.» (18-21. «ὥσπερ... σκότος.») Ὑπομιμνήσκει ἡμᾶς τῶν ἐν τοῖς περὶ ψυχῆς εἰρημένων περὶ φωτός, ὅτι ἐσʈὶ χρῶμα τοῦ διαφανοῦς κατὰ συμβεβηκός. Ἐδείχθη γὰρ ἐν ἐκεί-

[1] αἰσθητὸν AMC. — [2] εἰσὶν AMC — [3] αἰσθητὰ AMBC.

«sensibilis quomodo sunt eadem hoc[1] quidem ei qui secundum actum visui, hoc autem ei qui secundum auditui et secundum quid[2] «altera, in hiis que de anima dictum est.» Manifestavit autem hoc per hoc quod dixit «hiis qui secundum actum sensibus;» hiis enim que secundum actum sensibilia opponuntur. Quid[3] autem existens unumquodque ipsorum, colorque[4] et sonus unumquodque eorum que secundum alios sensus similiter, potentia est sensibile (per hoc enim quod dicit «faciet sensum et actum» quod potentia sensibile manifestavit), quod quidem erat alterum eorum in que divisio sensibilis ab ipso facta fuit[5], de sic igitur quidem sensibili, ait, nunc dicamus, hoc est potentia.

XVI. 439 a 18-25.] «Quemadmodum igitur dictum est de lumine «in aliis quod[6] est color dyafani vel secundum accidens.» (18-21.) Recordatur nobis eorum que dicta sunt in de anima de lumine, quod est

[1] hec. — [2] quod. — [3] quod. — [4] color quod. — [5] sint. — [6] que.

ALEXANDRE D'APHRODISIAS.
—
439 a 18-21.

νοις[1] ὅτι τὸ φῶς ἐστὶν ἐντελέχεια τοῦ διαφανοῦς, ᾗ διαφανές, καὶ ὥσπερ χρῶμα[2] τοῦ διαφανοῦς, οὐχ ἁπλῶς, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι μὴ παθητικῶς ἀναδέχεται[3] τὸ διαφανὲς τὸ φῶς, ἀλλὰ κατὰ σχέσιν τὴν πρὸς αὐτὸ ποιὰν τοῦ φωτίζειν πεφυκότος ποτὲ μὲν † πεφωτίσθαι[4] ποτὲ δὲ οὔ. Διὸ οὐκ οἰκεῖον αὐτοῦ χρῶμα τὸ φῶς, ὥσπερ τῶν ἄλλων τῶν κεχρωσμένων. Ἐν ἐκείνοις μὲν γὰρ μένει τὸ χρῶμα, ὡς οἰκεῖον ὄν, ἐπὶ δὲ τοῦ φωτὸς οὐχ οὕτω. †Καὶ[5] αὐτὸς ἐξηγούμενος προσέθηκε τὸ « ὅταν γὰρ ᾖ τι πυρῶδες ἐν τῷ †διαφανεῖ. » Καὶ τὸ μὲν κατὰ συμβεβηκὸς χρῶμα ***[6] τοιοῦτον· πῶς δὲ γίνεται κατὰ σχέσιν πυρώδους[7] τινὸς[8] ἐν διαφανεῖ προσέθηκεν· ἡ μὲν γὰρ παρουσία τοῦ τοιούτου τινὸς[9] ἐν διαφανεῖ φῶς, ἡ δὲ ἀπουσία σκότος. ***[10] πῶς κατὰ συμβεβηκὸς †φῶς[11] τὸ χρῶμα τοῦ διαφανοῦς ὑπομιμνήσκων. Τῷ δὲ « ὥσπερ οὖν εἴρηται περὶ φωτὸς ἐν ἐκείνοις ὅτι ἐστὶ χρῶμα τοῦ διαφανοῦς » οὐδὲν δοκεῖ ἀνταποδε-

[1] Arist. *De An.* II, 7. 418 a 9-10. — [2] om. AC. — [3] ἀναδέχεσθαι A. — [4] Lisez πεφώτισται. — [5] ὁ add AMBC. Les mots Καὶ... διαφανεῖ doivent être transposés plus bas après σκότος. — [6] Suppléez τὸ φῶς εἶναι τοῦ διαφανοῦς. — [7] πυρῶδες AMBC. — [8] om. AMBC. — [9] om. ABC — [10] Voir la note 5. — [11] Transposez après τὸ.

---

color dyafani secundum accidens. Ostensum enim est in illis quod lumen est actus dyafani, in quantum dyafanum, et velut color dyafani, non simpliciter, sed secundum accidens, quia non passive recipit dyafanum lumen, sed secundum habitudinem ad ipsum qualem nati illuminare aliquando quidem illuminari, aliquando autem non. Propter quod non proprius ipsius color lumen, sicut aliorum coloratorum. In illis quidem enim manet color, tamquam proprium existens, in lumine autem non sic. Et ipsemet exponens apposuit hoc « cum « enim fuerit aliquid[1] igneum in dyafano. » Et hoc quidem secundum accidens color tale; qualiter autem fit[2] secundum habitudinem ignei alicuius in dyafano apposuit; presentia quidem enim talis in dyafano lumen *** color est dyafani reminiscens. Hoc « sicut igitur dictum

[1] ad. — [2] sit ignis.

ALEXANDRE D'APHRODISIAS.

439 a 21-25.

δόσθαι. Εἴη δ'[1] ἂν ἀκόλουθον τὸ « κείσθω τοῦτο καὶ μενέτω, » μεθ' ὃ εἴη ἂν τὸ « ὃ δὲ λέγομεν διαφανὲς οὐκ ἔστιν ἴδιον ἀέρος ἢ ὕδατος. » Μέλλων δὲ περὶ χρωμάτων λέγειν εὐλόγως ὑπομιμνήσκει[2] ἡμᾶς ὅτι καὶ τὸ φῶς χρῶμα ἂν[3] μάλιστά τε καὶ πρῶτον εἴη[4], εἴγε δι' αὐτοῦ καὶ ἡ τῶν ἄλλων χρωμάτων αἴσθησις οὐκ ἐν ἄλλῳ τινὶ γίνεται ἢ ἐν διαφανεῖ, δεικνὺς καὶ συνιστὰς διὰ τούτου[5] ὅτι ἡ τοιαύτη φύσις χρώματός ἐστι δεκτική.

439 a 21-25. « ὃ... ἧττον. » Λαβὼν δὲ τὸ φῶς χρῶμα ὂν ἐν διαφανεῖ γίνεσθαι, ἑξῆς τίς ἐστιν ἡ φύσις τοῦ διαφανοῦς ἡ τῶν χρωμάτων δεκτικὴ καὶ ἐν τίσιν ἐστὶ καὶ τίς ἡ τῶν διαφάνειαν ἐχόντων σωμάτων πρὸς ἄλληλα διαφορὰ ἐνδείκνυται. Εἶτα καὶ τὴν τῶν κεχρωσμένων πρὸς τὰ πεφωτισμένα δείξει διαφοράν, καὶ ὅτι εὐλόγως τὰ μὲν οἰκεῖον ἔχει τὸ χρῶμα καὶ τοῦτο ἐν τῷ πέρατι, τὰ δὲ πεφωτισμένα οὔτε οὕτως οὔτε ἐν τούτῳ. Ὃ γὰρ λέγομέν, φησι, διαφανὲς οὐκ ἔστιν ἴδιον ἀέρος ἢ ὕδα-

[1] om. AMC. — [2] ὑπομιμνήσκῃ A. — [3] ὂν BC. — [4] om. ABC. — [5] τούτῳ A. τούτων M.

« est de lumine in illis quod est color dyafani » nichil videtur ad propositum facere. Erit autem utique dicens sequens, erit autem utique « quod dicit transparentia non est proprium aeris aut aque. » Dicturus de coloribus rationabiliter recordatur nobis quod et lumen color existens maxime oportet et primo, siquidem per ipsum et aliorum colorum sensus non in alio alico fit[1] quam in dyafano, ostendens et insistens per hoc quod talis natura colorum est susceptiva.

439 a 21-25.] Accipiens autem quod lumen est color existens in dyafano, deinde que[2] sit natura dyafani colorum susceptiva et in quibus est et que corporum habentium transparentiam ad invicem differentia[3] ***. Et coloratorum ad illuminata ostendet[4] differentiam, et quod rationabiliter hec quidem habent proprium colorem et hoc in extremitate, hec[5] autem illuminata neque sic nec in hoc. Quod enim

[1] sit. — [2] quod. — [3] differre. — [4] ostendit. — [5] hoc.

ALEXANDRE D'APHRODISIAS. — 439 a 21-25.

τος, ὧν ἐσʈί τε καὶ γίνεται[1] τὸ χρῶμα κατὰ συμβεβηκός. Εἰπὼν δὲ ὅτι[2] μὴ ἴδιον τὸ διαφανὲς ἀέρος ἢ ὕδατος, προσέθηκεν ὅτι[3] μηδὲ ἄλλου τινὸς τῶν οὕτω λεγομένων σωμάτων. Λέγονται γὰρ διαφανεῖς λίθοι τινές. Οὐδὲ[4] οὖν τινος τούτων ἴδιον[5] ἡ διαφάνεια, ἀλλ' ἔσʈι κοινὴ φύσις τις καὶ δύναμις οὐ χωρισʈὴ οὖσα οὐδὲ καθ' ἑαυτὴν ὑφίσʈασθαι δυναμένη, ὥσπερ οὖν οὐδ' ἄλλη τις δύναμις, ἀλλ' ἔν γε τούτοις οὖσα ἃ διαφανῆ λέγομεν, ἀέρι λέγω καὶ ὕδατι, καὶ ὧν κατηγοροῦμεν τὸ διαφανές, καὶ ἐν τοῖς ἄλλοις πᾶσι σώμασι, τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧτʈον, τῷ πάντα[6] τὰ σώματα ἔχειν τι τῆς δυνάμεως ἐν αὐτοῖς. Λαβὼν δὲ τὸ τὴν διαφάνειαν φύσιν τινὰ καὶ δύναμιν εἶναι ἐν πᾶσι τοῖς σώμασι, τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧτʈον, προσλαμβάνει τούτῳ τὸ ὡς τῶν σωμάτων, καθὸ σώματα, ἀνάγκη τι εἶναι ἔσχατον καὶ πέρας, ἐπεὶ μηδὲν ἄπειρον σῶμα, ὡς δέδεικται, καὶ ἔσʈι τοῦτο ἐπιφάνεια, καὶ οὕτω φησὶν ἔσχατόν τι

[1] *γίνεσθαι* AC. — [2] om. ABC. — [3] om. AC. — [4] *οὐδεὶς* pr. B. — [5] om. ABC. — [6] *πᾶν* A.

---

dicimus, ait, dyafanum non est proprium aeris aut aque *** apposuit neque alterius alicuius sic[1] dictorum corporum. Dicuntur enim dyafani lapides aliqui. Neque horum[2] igitur alicuius proprium dyafania[3], sed est[4] communis natura et virtus non separabilis existens neque per se subsistere potens, sicut neque alia aliqua virtus, sed in hiis existens que dyafana dicimus, aere dico et aqua, et de quibus predicamus dyafanum, et in omnibus aliis corporibus, hiis quidem[5] magis, hiis autem minus, eo quod omnia corpora habeant aliquid virtutis in ipsis. Accipiens autem transparentiam naturam quandam et virtutem esse in omnibus corporibus, hiis quidem magis, hiis *** coasserit[6] hoc quod corporum, secundum quod corpora, necesse aliquid esse ultimum et terminum, quoniam nullum infinitum corpus, ut ostensum est, et est hoc epiphania, *** ait extremum ali-

[1] sit. — [2] huius *add.* — [3] dyafana. — [4] etiam. — [5] quibus. — [6] coasserunt.

*τοιοῦτον εἶναι καὶ τῆς διαφανείας. Τοῦτο δὲ τὸ τῆς διαφανείας πέρας, οὐχ ὡς κεχωρισμένον τῆς ἐπιφανείας, οὕτως ἐστὶ τοῦ σώματος πέρας, ἀλλ' ὡς ἐν ταύτῃ καὶ σὺν ταύτῃ ὄν. Ὡς γὰρ ἔχει πρὸς ἄλληλα τό τε διαφανὲς καὶ τὸ σῶμα, οὕτως ἔχει καὶ τὰ πέρατα αὐτῶν πρὸς ἄλληλα. Ἐπ' ἐκείνων δὲ οὐκ ἄλλο μέν ἐστι τὸ σῶμα, ἄλλο δὲ κεχωρισμένον[1] αὐτοῦ τὸ διαφανές· ἀλλ' ἔστι τὸ σῶμα αὐτὸ διαφανές, κατὰ τὴν τοιαύτην δὲ δύναμιν χρωμάτων δεκτικόν. Ἔστι δὲ καὶ[2] τὸ πέρας αὐτοῦ ἐπιφάνεια τοιαύτη κεχρωσμένη, ὡς εἶναι, καθὸ μὲν σῶμα, τὴν ἐπιφάνειαν αὐτοῦ πέρας, καθὸ δὲ τοιόνδε καὶ διαφανές, τὸ χρῶμα. ***[3] ἐστι ποιότης ἐν τῇ ἐπιφανείᾳ, καθὸ μὲν σῶμα, †ἐπιφάνεια[4], καθὸ δὲ τοιόνδε, †λευκή[5]. Ἔστι γὰρ φύσις ἐν τοῖς σώμασι δεκτικὴ χρωμάτων, ἥτις ἐστὶν ἡ διαφάνεια. Ὡς γὰρ θερμότητος ἢ ψυχρότητος ἢ ὑγρότητος ἢ[6] ξηρότητος ἢ μανότητος ἢ πυκνότητος οἷόντε τὰ μὲν μᾶλλον μετέχειν τῶν σωμά-*

[1] *κεχωρισμένων* A. — [2] om. ABC. — [3] Suppléez *Τὸ δὴ χρῶμά.* — [4] *ἐπιφάνειαν* AMBC. Je crois que ce mot a pris la place de quelque adjectif comme *κυκλοτερεῖ.* — [5] *λευκήν* AMBC. Lisez *λευκῇ.* — [6] *ἢ ξηρότητος* om. ABC.

---

quid esse tale ***. Hec[1] autem dyafanie extremitas, non ut[2] separatum ab epiphania, sic est corporis[3] terminus, sed sicut in hac et cum hac existens. Sicut enim habent ad invicem dyafanum et corpus, sic habent et extrema ipsorum ad invicem. In illis autem non aliud quidem est corpus, aliud separatum ab ipso dyafanum; sed est corpus ipsum dyafanum, secundum talem virtutem colorum susceptivum. Est autem et extremum ipsius epiphania talis coloratum, ut sit, secundum quod quidem corpus, epiphania ipsius terminus, secundum autem quod tale et dyafanum, color. Est qualitas in epiphania, secundum quod quidem corpus est, superficies, secundum autem quod tale, alba. Est enim *** in corporibus susceptiva colorum, que est transparentia. Sicut enim caliditatis et frigiditatis aut humiditatis aut siccitatis aut raritatis aut spissitudinis possibile est hec quidem *** par-

[1] hoc. — [2] *répété.* — [3] corpus.

ALEXANDRE D'APHRODISIAS. — 439 a 21-25.

τος, ὧν ἐσΊί τε καὶ γίνεται[1] τὸ χρῶμα κατὰ συμβεβηκός. Εἰπὼν δὲ ὅτι[2] μὴ ἴδιον τὸ διαφανὲς ἀέρος ἢ ὕδατος, προσέθηκεν ὅτι[3] μηδὲ ἄλλου τινὸς τῶν οὕτω λεγομένων σωμάτων. Λέγονται γὰρ διαφανεῖς λίθοι τινές. Οὐδὲ[4] οὖν τινος τούτων ἴδιον[5] ἡ διαφάνεια, ἀλλ' ἔσΊι κοινὴ φύσις τις καὶ δύναμις οὐ χωρισΊὴ οὖσα οὐδὲ καθ' ἑαυτὴν ὑφίσΊασθαι δυναμένη, ὥσπερ οὖν οὐδ' ἄλλη τις δύναμις, ἀλλ' ἔν γε τούτοις οὖσα ἃ διαφανῆ λέγομεν, ἀέρι λέγω καὶ ὕδατι, καὶ ὧν κατηγοροῦμεν τὸ διαφανές, καὶ ἐν τοῖς ἄλλοις πᾶσι σώμασι, τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧτΊον, τῷ πάντα[6] τὰ σώματα ἔχειν τι τῆς δυνάμεως ἐν αὐτοῖς. Λαβὼν δὲ τὸ τὴν διαφάνειαν φύσιν τινὰ καὶ δύναμιν εἶναι ἐν πᾶσι τοῖς σώμασι, τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧτΊον, προσλαμβάνει τούτῳ τὸ ὡς τῶν σωμάτων, καθὸ σώματα, ἀνάγκη τι εἶναι ἔσχατον καὶ πέρας, ἐπεὶ μηδὲν ἄπειρον σῶμα, ὡς δέδεικται, καὶ ἔσΊι τοῦτο ἐπιφάνεια, καὶ οὕτω φησὶν ἔσχατόν τι

[1] γίνεσθαι AC. — [2] om. ABC. — [3] om. AC. — [4] οὐδεὶς pr. B. — [5] om. ABC. — [6] πᾶν A.

---

dicimus, ait, dyafanum non est proprium aeris aut aque *** apposuit neque alterius alicuius sic[1] dictorum corporum. Dicuntur enim dyafani lapides aliqui. Neque horum[2] igitur alicuius proprium dyafania[3], sed est[4] communis natura et virtus non separabilis existens neque per se subsistere potens, sicut neque alia aliqua virtus, sed in hiis existens que dyafana dicimus, aere dico et aqua, et de quibus predicamus dyafanum, et in omnibus aliis corporibus, hiis quidem[5] magis, hiis autem minus, eo quod omnia corpora habeant aliquid virtutis in ipsis. Accipiens autem transparentiam naturam quandam et virtutem esse in omnibus corporibus, hiis quidem magis, hiis *** coasserit[6] hoc quod corporum, secundum quod corpora, necesse aliquid esse ultimum et terminum, quoniam nullum infinitum corpus, ut ostensum est, et est hoc epiphania, *** ait extremum ali-

[1] sit. — [2] huius *add.* — [3] dyafana. — [4] etiam. — [5] quibus. — [6] coasserunt.

ALEXANDRE D'APHRODISIAS. — 439 a 21-25.

τοιοῦτον εἶναι καὶ τῆς διαφανείας. Τοῦτο δὲ τὸ τῆς διαφανείας πέρας, οὐχ ὡς κεχωρισμένον τῆς ἐπιφανείας, οὕτως ἐστὶ τοῦ σώματος πέρας, ἀλλ' ὡς ἐν ταύτῃ καὶ σὺν ταύτῃ ὄν. Ὡς γὰρ ἔχει πρὸς ἄλληλα τό τε διαφανὲς καὶ τὸ σῶμα, οὕτως ἔχει καὶ τὰ πέρατα αὐτῶν πρὸς ἄλληλα. Ἐπ' ἐκείνων δὲ οὐκ ἄλλο μέν ἐστι τὸ σῶμα, ἄλλο δὲ κεχωρισμένον[1] αὐτοῦ τὸ διαφανές· ἀλλ' ἔστι τὸ σῶμα αὐτὸ διαφανές, κατὰ τὴν τοιαύτην δὲ δύναμιν χρωμάτων δεκτικόν. Ἔστι δὲ καὶ[2] τὸ πέρας αὐτοῦ ἐπιφάνεια τοιαύτη κεχρωσμένη, ὡς εἶναι, καθὸ μὲν σῶμα, τὴν ἐπιφάνειαν αὐτοῦ πέρας, καθὸ δὲ τοιόνδε καὶ διαφανές, τὸ χρῶμα. ***[3] ἐστι ποιότης ἐν τῇ ἐπιφανείᾳ, καθὸ μὲν σῶμα, †ἐπιφάνεια[4], καθὸ δὲ τοιόνδε, †λευκή[5]. Ἔστι γὰρ φύσις ἐν τοῖς σώμασι δεκτικὴ χρωμάτων, ἥτις ἐστὶν ἡ διαφάνεια. Ὡς γὰρ θερμότητος ἢ ψυχρότητος ἢ ὑγρότητος ἢ[6] ξηρότητος ἢ μανότητος ἢ πυκνότητος οἷόντε τὰ μὲν μᾶλλον μετέχειν τῶν σωμά-

[1] κεχωρισμένων A. — [2] om. ABC. — [3] Suppléez Τὸ δὴ χρῶμά. — [4] ἐπιφάνειαν AMBC. Je crois que ce mot a pris la place de quelque adjectif comme κυκλοτερεῖ. — [5] λευκήν AMBC. Lisez λευκῇ. — [6] ἡ ξηρότητος om. ABC.

---

quid esse tale ***. Hec[1] autem dyafanie extremitas, non ut[2] separatum ab epiphania, sic est corporis[3] terminus, sed sicut in hac et cum hac existens. Sicut enim habent ad invicem dyafanum et corpus, sic habent et extrema ipsorum ad invicem. In illis autem non aliud quidem est corpus, aliud separatum ab ipso dyafanum; sed est corpus ipsum dyafanum, secundum talem virtutem colorum susceptivum. Est autem et extremum ipsius epiphania talis coloratum, ut sit, secundum quod quidem corpus, epiphania ipsius terminus, secundum autem quod tale et dyafanum, color. Est qualitas in epiphania, secundum quod quidem corpus est, superficies, secundum autem quod tale, alba. Est enim *** in corporibus susceptiva colorum, que est transparentia. Sicut enim caliditatis et frigiditatis aut humiditatis aut siccitatis aut raritatis aut spissitudinis possibile est hec quidem *** par-

[1] hoc. — [2] *répété*. — [3] corpus.

ALEXANDRE D'APHRODISIAS. — 439 a 21-25.

των, τὰ δὲ ἧττον, οὐχ οὐσῶν χωριστῶν δυνάμεων, οὕτω καὶ τῆς διαφανείας. Ὡς γὰρ πᾶσι τοῖς ἐν ἄλλῳ πεφυκόσι γίνεσθαί τε καὶ εἶναί ἐστί τι ὑποκείμενον ἐπιτηδειότητα ἔχον πρὸς τὸ κατ' αὐτὸ εἰδοποιεῖσθαι καὶ ὕλη ἐστὶν[1] αὐτῷ (καὶ γὰρ βαρεῖ καὶ κούφῳ καὶ μεγάλῳ καὶ μικρῷ καὶ θερμῷ καὶ ψυχρῷ καὶ τοῖς ἄλλοις τοῖς ἀνάλογον τούτοις ἔχουσιν ὕλη τις ὑπόκειται), οὕτω δὴ καὶ τοῖς[2] χρώμασι καὶ τῇ κατὰ ταῦτα ἐναντιώσει· καὶ γὰρ ταῦτα τῶν ἐν ἄλλοις γίνεσθαι πεφυκότων· καὶ ἔστιν αὕτη ἡ ἐν τοῖς σώμασι διαφάνεια. Καὶ τὰ σώματα, καθό ἐστι διαφανῆ, καὶ τὸ χρῶμα ἔχει τε καὶ δέχεται[3]. Πᾶν γὰρ σῶμα κατὰ τὴν τοιαύτην δύναμιν χρώματός ἐστι δεκτικόν. Ἔστι δὲ οὐκ ἐν πᾶσιν ἴση ἡ[4] φύσις αὕτη τοῖς σώμασιν, ἀλλ' ἐν οἷς μὲν μᾶλλον, ἐν οἷς δὲ ἧττον. Καὶ τὰ μέν ἐστιν[5] αὐτῶν ἀόριστα, τὰ δὲ †διωρισμένα[6]. Κατὰ δὲ τὰς διαφορὰς ταύτας καὶ ἡ τῶν χρωμάτων ἐν αὐτοῖς διαφορά. Πάντα μὲν οὖν τὰ σώματα τῆς φύσεως ταύτης τῆς διαφανείας κεκοινώνηκεν, ἀλλὰ τὰ μὲν μᾶλλον,

[1] ἐν add. AMBC. — [2] om. ABC. — [3] ἐκδέχεται AMBC. — [4] ἡ φύσις post αὕτη AMC. — [5] ἔνεστιν AMBC. — [6] Lisez ὡρισμένα.

---

ticipare corpora, hec autem minus, non existentibus separabilibus[1] virtutibus, et sic transparentie. Sicut omnibus enim natis in alio fieri et esse est aliquod subiectum ydoneitatem habens ut fiat species secundum se et est materia ipsi (et enim gravi et levi et magno et parvo et calido et frigido et aliis hiis proportionem habentibus materia quedam[2] subicitur), sic et coloribus et secundum hos contrarietati; et enim hec nata sunt fieri in aliis; et hoc est in corporibus dyafania. Et corpora, secundum quod sunt dyafana, et colorem[3] habet et suscipit. Omne enim corpus secundum talem virtutem coloris est susceptivum. Est autem non in omnibus corporibus equalis natura hec, sed in hiis quidem magis, in hiis autem minus. Et hec quidem ipsorum sunt interminata[4], *** et secundum has differentias et colorum

[1] corporibus *add.* — [2] quidem. — [3] corpus. — [4] intermiata.

ALEXANDRE D'APHRODISIAS.
—
439 a 21-25.

τὰ δὲ ἧττον. Ἰδίως δὲ διαφανῆ, ὡς εἴθισται λέγεσθαι, τῶν σωμάτων μόνα τὰ δίοπτα, ἀπὸ τοῦ φαινόμενον μὲν κυρίως λέγεσθαι τὸ τῇ ὄψει ἀντιληπτὸν παρὰ τὸ φῶς. Ὧν δὴ τοῦτο χρῶμα, ταῦτα ἰδίως διαφανῆ. Τὰ γὰρ δεχόμενα τὸ φάος ἤτοι φῶς, δι' οὗ πάντα τὰ ὁρώμενα ὁρᾶται, ταῦτα λέγεται συνήθως διαφανῆ, [κατ'[1] ἄμφω], ὅτι τε τὸ φῶς δέχεται, ὅ ἐστι φάος, καὶ διότι τοῖς ἄλλοις πᾶσιν αἴτια ταῦτα τοῦ φαίνεσθαί τε καὶ ὁρᾶσθαι. Τὰ γὰρ χρώματα διὰ τούτου ὁρᾶται καὶ τούτου κινητικά. Δέχεται δὲ τὸ φῶς τὰ ἀόριστα διαφανῆ, τῷ μὴ ἔχειν οἰκεῖον χρῶμα. Τὰ γὰρ ἀόριστα, ὥσπερ τὸ πέρας ἴσχει παρ' ἄλλου οὐκ ἔχοντα οἰκεῖόν τε καὶ ὡρισμένον, οὕτω δὴ καὶ τὰ χρώματα. Δι' οὗ δὲ[2] ταῦτα φαίνεται, τοῦτο δὲ[3] ἰδίως καλοῦμεν διαφανές. Οὐ γὰρ πάντα, ὡς εἴρηται, τὰ ἔχοντα τὴν διαφάνειαν ὁμοίως ἐστὶ διαφανῆ· ἀλλὰ τὰ μὲν μᾶλλον αὐτῆς, τὰ δὲ ἧττον μετέχει. Καὶ ἔστι τὰ μὲν ἀόριστα τῶν σωμάτων, διὰ τὸ ***[4] μοῖραν στερεοῦ μηδὲ[5] γῆς ἔχειν ἐν αὐτοῖς, ἃ καὶ μᾶλλον δια-

[1] κατ' ἄμφω om. AMBC. — [2] δὴ ABC. — [3] δὴ M. — [4] Suppléez μηδεμίαν. — [5] τε καὶ AMBC.

---

differentia in ipsis. Omnia quidem igitur corpora communicant nature huius[1] transparentie, sed hec quidem magis, hec autem minus. Proprie autem dyafana, ut consuetum est dici, sola pervia corporum, a faneo fanomenon; proprie enim dicitur quod visu penetrabile, faos autem lumen. Quorum autem fit[2] hoc color, hec proprie dyafana. Suscipientia enim lumen, sicut luminosa, per quod omnia visibilia videntur, hec autem dicuntur secundum consuetudinem dyafana, secundum ambo, et quia lumen suscipiunt, quod est faos, et quia aliis omnibus hec sunt causa quod appareant et videantur. Colores enim propter hoc videntur et huius sunt motivi. Suscipiunt autem lumen interminata dyafana, eo quod non habeant proprium colorem. Interminata enim, et sicut habent terminum ab alio[3] non habentia proprium et terminatum, sic et colores. Per quod utique hii appareant, hoc autem proprie vocamus dyafanum. Non omnia

[1] hinc. — [2] fiunt. — [3] illo.

ALEXANDRE D'APHRODISIAS. — 439 a 21-25.

φανῆ καὶ ἐν τῷ βάθει, τὰ δὲ ἕτερα ἧτlον, διότι γῆς ταῦτα[1] ἐν αὐτοῖς μετέχει, ἥτις ἐλάχισlα διαφανής ἐσlι· τὰ γὰρ μᾶλλόν τε καὶ ἧτlον ***[2] μίξει τοῦ ἐναντίου. Μάλισlα μὲν γὰρ ***[3] ἀόρισlον[4] καὶ διαφανὲς τῶν σωμάτων, ὃ αὐτό τέ[5] ἐσlιν ὁρατὸν καὶ[6] τοῖς ἄλλοις τοῦ ὁρᾶσθαι αἴτιον γίνεται· τοιοῦτον δὲ σῶμα τὸ φωτίζειν πεφυκός, ὥσπερ τό τε θεῖον καὶ τὸ πῦρ. Κατὰ λόγον δὲ κατὰ τὴν πρὸς τοῦτο γειτνίασιν καὶ οἰκειότητα καὶ τῶν ἄλλων ἕκασlον κεκοινώνηκε τῆς διαφανείας, ἀὴρ μὲν μᾶλλον (διὸ καὶ τάχιστα οὗτος φωτὸς ἀναπίμπλαται), δευτέρως δὲ τὸ ὕδωρ, τελευταία δὲ ἡ γῆ· διὸ καὶ ἐλάχισlα αὕτη διαφανής· καὶ γὰρ ὅσα ἐκ γῆς εἶναι δοκοῦντά ἐσlι διαφανῆ ὕδατος μᾶλλον ἢ γῆς ὄντα αὐτὰ εὕροι[7] τις ἄν[8]· καὶ τῇ ταύτης δὲ μίξει τὰ ἐλατlον διαφανῆ τῶν σωμάτων οὕτω διαφανῆ. Καὶ γὰρ δὴ ὁ μὲν ἀὴρ οἰκεῖός πως τῷ πυρί· διὸ καὶ [τελείως[9]] ἐμπίπραται[10]. Τὸ δὲ ὕδωρ[11] καὶ τροφὴ δοκεῖ τῷ

[1] μεν add. AMC. — [2] Suppléez μᾶλλον καὶ ἧτlον. — [3] Suppléez διαφανὲς τὸ. — [4] ὁρατὸν AMBC. — [5] om. AC. — [6] διαφανὲς καὶ add. M. — [7] εὑρήσει AMC. — [8] ἂν om. AC. — [9] ταχέως AMBC. — [10] ἐμπίπλαται φωτός AMBC. — [11] δευτέρως add. M.

---

enim, ut dictum est, habentia dyafaniam similiter sunt dyafana; sed hec quidem magis ipsa participant, hec autem minus. Et sunt hec quidem interminata corporum, quandoque solidum neque terram habent in ipsis, que et magis dyafana et in profundo, alia autem minus, quia hec participant terra in ipsis, que minime dyafana est; magis enim et minus mixtione contrarii. Maxime quidem enim interminatum et dyafanum corporum est quod ipsum et interminatum est et dyafanum, quod est et visibile et aliis videri causa[1] fit; tale autem corpus quod natum est illuminare, quemadmodum divinum et ignis. Secundum proportionem autem secundum vicinitatem[2] et proprietatem et aliorum unumquodque communicat dyafania, aer quidem magis (propter quod et citissime iste lumine illustratur), secundo autem aqua, ultimo autem terra: propter quod et minime

[1] tam. — [2] veritatem.

ALEXANDRE D'APHRODISIAS.
439 a 21-25.

πυρὶ εἶναι· καὶ γὰρ ἐν τοῖς καιομένοις ξύλοις ἡ ὑγρότης ἐστὶν ἐν αὐτοῖς καιομένη[1], καὶ ἐφ' ὅσον ταύτην ἔχει, καίεται· τοιοῦτον γὰρ καὶ ὁ καπνός. Ἡ δὲ γῆ πορρωτάτω[2] ἀφέστηκεν αὐτοῦ. Διὸ καὶ ἥκιστα αὕτη διαφανής· διὸ καὶ εἰκότως τὴν τῆς στερήσεώς πως τοῦ φωτὸς χώραν ἔχει, οὔτε αὐτὴ δεχομένη[3] τὸ φῶς ἐν αὐτῇ, καί, †ὅτε[4] †ἐν ἄλλῳ μιχθῇ, ἀντιφράττουσα αὐτῷ[5] καὶ κωλύουσα φωτίζεσθαι δι'[6] ὅλου, ὡς[7] ὁρῶμεν ἐπὶ τοῦ ἀέρος ἐν ᾧ ὁ καπνός ἐστι· πολὺ γὰρ γεῶδες ἐν τῷ καπνῷ. Οὐδὲ[8] ἡ φλὸξ †δὲ[9], διότι καὶ αὐτὴ γεῶδές τι ἔχει μεμιγμένον, εἴγ' ἐστὶ[10] καπνὸς καιόμενος καὶ ἡ φλόξ. Διὸ οὐ, κονιορτοῦ ὄντος ἐν τῷ ἀερί, διαφανὴς ἔτι ὁ ἀὴρ μένει. Κέρας δὲ καὶ τὸ χελώνιον διαφανῆ ἐργασθέντα πως γίνεται, ὅτι τὸ πλεῖστον ὕδατος ἐν αὐτοῖς· δῆλον[11] δὲ τῷ μαλακτὰ[12] εἶναι. Τὰ μὲν οὖν μάλιστα διαφανῆ τῶν σωμάτων τὸ μάλιστα ὁρατὸν

[1] δαιομένη M. — [2] πορροτάτω AM. — [3] δεχομένως A. — [4] ὅτε ἐν] Lisez ὅταν. — [5] αὐτὸ AMBC. — [6] δι' ὅλου] διότι AMC. — [7] οὐχ M. — [8] καὶ M. — [9] Lisez δή. — [10] ἔτι AMC. — [11] δηλοῖ AMB. — [12] μαλακὰ avec κτα écrit au-dessus B.

---

hec dyafana; et enim quecumque ex terra putata esse sunt dyafana aque magis quam terre existentia ipsa inveniet quis. Et huius autem mixtione que minus dyafana corporum sic[1] dyafana. Et enim aer quidem conveniens aliqualiter igni; propter quod et perfecte inflammatur. Aqua autem et alimentum videtur igni esse; et enim in totis ustis humiditas est in ipsis que uritur, et quam diu hanc habet, uritur; tale enim et fumus. Terra autem longissime distat ab ipso. Propter quod et minime hec dyafana; propter quod et merito locum privationis luminis habet, neque ipsa suscipiens lumen in se ipsa, aut quia, quando in alio miscetur, obsistit ipsi et prohibet illuminari per totum. Sic videmus in aere in quo fumus est; multum enim terrestre in fumo. Neque flamma autem, quia et ipsa terrestre habet aliquid mixtum, siquidem[2] flamma est fumus accensus. Propter quod non, existente pulvere in aere, dyafanus adhuc aer manet. Cornu autem et testa tortuce laborata[3] aliqualiter dyafana fiunt, quia quod plu-

[1] sit. — [2] si quidam. — [3] labonita.

ALEXANDRE D'APHRODISIAS.
—
439 a 21-25.

τῶν χρωμάτων δέχεται, τοῦτο δ' ἐστὶ τὸ φῶς, καὶ δι' ὅλων αὐτῶν, τῷ μὴ ἔχειν ἀντιφράττον καὶ τῷ ἀόριστα εἶναι· †διὸ[1] καὶ τῶν ἄλλων χρωμάτων ὁρατὸν †ἕκαστον· τῷ δὲ εἶναι ὑγρά τε καὶ ἀόριστα καὶ μὴ δύνασθαι στέγειν τοῦτο ὃ δέχεται, οὐ παθητικῶς χρώννυνται. Διὸ οὐκ ἀεὶ τὸ χρῶμα τοῦτο ἔχει· ἀλλ' ἀπελθόντος τοῦ πεφυκότος φωτίζειν αὐτὰ, ἐν στερήσει τούτου[2] γίνεται, ὥστε εἴγε στέγειν ἠδύνατο τὸ χρῶμα, ἦν ***[3] ἀεὶ φῶς ἐν αὐτοῖς. Ἀλλὰ καὶ τὰ ἄλλα χρώματα ὁμοίως δέχεται· κινεῖται γὰρ ὑπὸ τούτων δι' οἰκειότητα. Ὅσα δὲ στερεὰ τῶν σωμάτων καὶ γῆς ἔχοντα πλεῖον, οὔτε δίοπτα ταῦτα, διότι μηδὲ ὁμοίως διαφανῆ, οὔτε τὸ φῶς ἔτι δέχεται. Οὐ γὰρ τῶν τοιούτων σωμάτων οἰκεῖον χρῶμα τὸ φῶς. Ἔχει μέντοι οἰκεῖόν τι[4] χρῶμα. Στερεὰ γὰρ ὄντα καὶ στέγειν δυνάμενα τοῦτο ὅ[5] τι [ἀρχὴν[6]] ἐδέξατο καὶ ἔσχεν ἐκ τῆς τῶν διαφανῶν

[1] διὸ... ἕκαστον]. Lisez δι' ὃ et transposez la proposition un peu plus haut après φῶς. — [2] τοῦτο AM. corr. BC. — [3] Suppléez ἄν. — [4] om. ABC. — [5] ὅ τι] ὃ τὴν C. — [6] χρόαν AMBC.

---

rimum aque in ipsis; est palam autem[1], quia mollificabilia sunt. Maxime quidem igitur dyafana corporum maxime visibile colorum suscipit, hoc autem est lumen, et que per totum ipsorum non habent obsistens[2] et eo quod interminata sunt; propter quod et aliorum colorum visibile unumquodque. Eo autem quod sint[3] humidaque et interminata et non possint[4] sistere hoc quod suscipit, non passive colorantur. Propter quod non semper colorem hoc habet; sed abcedente eo quod illuminat ipsa, in privatione huius fit, ut[5], si fundasset colorem, fuisset semper lumen in ipsis. Similiter et alii colores quos suscipit; movetur enim ab hiis propter proprietatem. Quecumque autem rara corporum et terre habentia plurimum, neque pervia hec, propter quod neque similiter dyafana, neque lumen adhuc suscipiunt. Non enim talium corporum proprius color lumen. Habent tamen proprium quendam colorem. Solida enim existentia et solidare potentia hoc quod a principio susceperunt et habuerunt ex aliquali

[1] aut. — [2] obstinens. — [3] sicut. — [4] possit. — [5] q..

ALEXANDRE D'APHRODISIAS.

439 a 25-26.

ἐν αὐτῷ ποιᾶς μίξεως, ὁρᾶται μὲν διὰ τοῦ φωτὸς, ὃ κυριωτάτως[1] τε καὶ[2] μάλιστα ὁρατόν, οὐ μὴν αὐτὸ τὸ φῶς ὡς χρῶμα δεχόμενα· καθόσον δὲ μετέχει τῆς διαφανείας, κατὰ τοσοῦτον καὶ οὕτω κέχρωσται. Ὅσα μὲν γὰρ μᾶλλον αὐτῶν ἐστι διαφανῆ φωτοειδὲς ἔχει τὸ χρῶμα, ἔχοντα μεμιγμένον ἐν αὐτοῖς τὸ τοιούτου χρώματος αἴτιον, τὰ δ' ἐγγὺς τούτου οἷον λευκόν· τὰ γὰρ μᾶλλον ὁρατὸν ἔχοντα τὸ[3] χρῶμα μᾶλλόν ἐστι καὶ διαφανῆ. Τὰ δὲ μέλανα στερήσει διαφανείας τοιαῦτα, ὡς τὸ σκότος ἀπουσίᾳ τοῦ φωτίζειν πεφυκότος. Καὶ τοιαύτη μὲν ἡ τῶν χρωμάτων φύσις καὶ τῆς[4] ἐν τοῖς σώμασι διαφανείας[5].

XVII. 439 a 25-26. « ὥσπερ...ταύτης. » Λαβὼν ὅτι τὸ χρῶμα ἐν τῷ διαφανεῖ (καὶ γὰρ τὸ φῶς ἐν τούτῳ καὶ τούτου[6] ὂν κατὰ συμβεβηκὸς χρῶμα (τοῦτο γὰρ τῆς τῶν χρωμάτων φύσεως δεκτικὸν) καὶ τούτῳ[7] συμβεβηκὸς ὡς ὑποκειμένῳ τῷ[8] σώματι τούτου ἐστὶ τὸ χρῶμα, λέγω

[1] κυριώτατον AMBC. — [2] post μάλιστα AC. — [3] om. B. — [4] om. AMBC. — [5] διαφάνεια AMBC. — [6] τούτω AM. — [7] κατὰ add. M. — [8] τῷ σώματι] εἶναι M. τῷ χρώματι ABC.

---

mixtione dyafanorum[1] in ipso, videntur enim per lumen, quod propriissime et maxime visibile, non tamen ipsum lumen ut colorem suscipientia; quantum autem participant dyafaneitatem, secundum tantum et sic colorata sunt. Quecumque quidem enim ipsorum magis sunt dyafana luminosum habent colorem, habentia mixtam[2] in ipsis talis coloris causam, que autem prope[3] hoc album; habentia enim magis visibilem colorem magis sunt dyafana. Nigra privatione dyafaneitatis sunt talia, quemadmodum tenebre absentia nati illuminare. Et talis quidem coloris natura et dyafaneitatis que in corporibus.

XVII. 439 a 25-26.] « Quemadmodum igitur in corporibus necesse « aliquid extremum. » Accipiens quia color[4] in dyafano (et enim lumen in hoc et hoc existens secundum accidens color (idem enim nature corporum ostensivum) et huic[5] accidens tamquam subiecto cor-

[1] dyafanus. — [2] mixta — [3] proprie. — [4] calor. — [5] hoc.

ALEXANDRE D'APHRODISIAS. — 439 a 25-26.

δὴ τοῦ διαφανοῦς) ***[1] ὡς γὰρ τοῦ σώματος, καθὸ σῶμά ἐσ7ιν, [ἔσχατον[2] ἡ ἐπιφάνεια, οὕτω καὶ τῆς διαφανείας τῆς ἐν τοῖς σώμασι καὶ τῶν σωμάτων, καθό ἐσ7ι διαφανῆ], ἀναγκαῖον εἶναι[3] ἔσχατόν τι καὶ πέρας[4], ταὐτὸν μὲν[5] ὂν τῷ ἀριθμῷ τῷ τοῦ σώματος πέρατι, ὅτι τὰ ὧν πέρατα †ταῦτά[6] ἐσ7ιν[7] ἓν κατ' ἀριθμόν, οὐ ταὐτὸν δὲ τῷ λόγῳ, ὅτι μηδὲ ταὐτὸν ἦν τό τε σώματι[8] εἶναι καὶ τὸ διαφανεῖ[9]· σώματα μὲν γὰρ ἀλλήλων οὐκ ἔσ7ι μᾶλλον καὶ ἧτ7ον, διαφανῆ δὲ[10] μᾶλλον καὶ[11] ἧτ7όν ἐσ7ι. Τοῦ μὲν οὖν σώματος, ὡς σώματος, πέρας ἡ ἐπιφάνεια, τοῦ δὲ διαφανοῦς, ὡς διαφανοῦς, τὸ χρῶμα. Διὸ καὶ ταὐτόν πως καὶ οὐ ταὐτὸν ἐπιφάνειά τε καὶ χρῶμα. Τὸ δὲ πέρας τοῦ διαφανοῦς χρῶμα. Κατὰ δὲ τὸ πέρας ὁρᾶται τὰ †κεχρωσμένα[12], ὥσ7ε πέρας τὸ χρῶμα. Καθὸ μὲν γὰρ ὁρᾶται,

[1] Il manque quelque chose comme φησιν. — [2] ἔσχατον... διαφανῆ om. ABC. Écrit sans doute au haut de la page et rapporté à un autre endroit (voir plus bas) dans M; mais le couteau du relieur a tout enlevé excepté διαφανῆ et les queues des lettres précédentes. J'ai refait le texte grec avec la traduction latine. — [3] om. AMC. ἐσ7ιν B. — [4] Ici une croix de renvoi dans M, sans doute à ἔσχατον... διαφανῆ. M ajoute après ce dernier mot : ἀναγκαῖον εἶναι τὸ πέρας τοῦτο μέν ἐσ7ι. — [5] μὲν ὂν del. M. — [6] Lisez ταὐτά. — [7] om AMBC. — [8] σώματα AMBC. — [9] διαφανῆ AMBC. — [10] τὰ μὲν add. AMBC. — [11] τὰ δὲ M. — [12] Lisez ὡρισμένα.

---

pori huius est color, dico autem dyafanum). Sicut enim corporis, secundum quod corpus est, omnis corporis extremum superficies, sic et dyafaneitatis que in corporibus et corporum, secundum quod sunt dyafana, necessarium esse aliquem terminum. Idem quidem erit numero corporis, et quia et quorum termini, hec[1] sunt unum secundum terminum, non idem autem ratione, quia neque unum esse est corpori et dyafano; corpora quidem enim invicem non sunt magis et minus, dyafana autem[2] magis et minus sunt. Corporis quidem igitur, ut corporis, terminus superficies, dyafani[3] autem, ut dyafani[4], color. Propter quod et idem aliqualiter et non idem superficies et color. Terminus autem dyafani[5] color[6]. Secundum terminum autem videntur colorata, quia terminus color. Secundum quod quidem enim vi-

[1] hoc. — [2] aut. — [3 4 5] dyafanum. — [6] colores.

ALEXANDRE D'APHRODISIAS. — 439 a 26-28.

κατὰ τοῦτο καὶ χρῶμα ἔχει· [κατὰ[1] δὲ][2] τὸ πέρας ὁρᾶται· κατὰ[3] τοῦτο ἄρα [ἔχει[4]] τὸ χρῶμα, καὶ τοῦτό ἐσΊιν αὐτῶν[5], ὡς διαφανῶν, πέρας. Οὐκέτι γὰρ τὰ οὕτω διαφανῆ καὶ διὰ βάθους ἐσΊι τοιαῦτα· τῶν γὰρ ἀορίσΊων διαφανῶν καὶ[6] ἡ διαφάνεια διὰ βάθους.

XVIII. 439 a 26-33. « *ἡ μὲν... πέρας.* » (26-28. « *ἡ μὲν... δῆλον.* ») *Ἀόρισ̓ον μὲν διαφανὲς τὸ ὑγρὸν καὶ μὴ ἔχον οἰκεῖον ὅρον[7], ᾧ ἀντιδιαιρεῖ[8] τὸ σΊερεὸν σῶμα, σῶμα[9] ἁπλῶς λέγων αὐτό, ὡς ἐμφαινομένης τῆς σΊερεότητος ἐν τῷ[10] σώματι, ἐπεὶ[11] οὐδέν γε ἔλατΊον καὶ τὸ ἀόρισΊον σῶμα σῶμά ἐσΊι[12]. Τὴν διαφορὰν δὲ φωτός τε[13] καὶ χρώματος καὶ τῶν ἐν οἷς ταῦτα διαφανῶν δείκνυσι διὰ τούτων. Τὸ μὲν γὰρ φῶς ἐν τῷ ἀορίσΊῳ διαφανεῖ[14] καὶ οὐκ ἔχοντι οἰκεῖον τέλος. Ὡς γὰρ οὐκ ἔχει τὰ*

[1] *κατὰ... χρῶμα* om. ABC. — [2] *κατὰ δὲ*] ... M. — [3] *κατὰ τοῦτο*] *καὶ* M. — [4] ... M. — [5] *οὐτῶν* ABC. *οὐ* del. M. — [6] om. ABC. — [7] *ὁ ἀντιδιαιρεῖ* add. AC. — [8] *ἀντιδιαιρεῖται* M. — [9] *σῶμα... ἐσΊι* om. AC. — [10] *σΊερεῷ* add. M. — [11] *ἐπειδὴ* B. — [12] om. B. — [13] om. AMC. — [14] *διαφανῆ* AC.

---

dentur, secundum hoc et colorem habent; secundum terminum autem videntur; secundum hoc[1] igitur habent colorem, et hoc est ipsorum ut dyafanorum terminus. Non adhuc enim dyafana sic[2] et per profundum sunt talia; interminatorum enim dyafanorum dyafania per profundum.

XVIII. 439 a 26-33.] « Luminis quidem igitur natura in[3] interminato « dyafano est. » (26-28.) Interminatum[4] quidem enim dyafanum humidum et non habens proprium terminum; cui[5] contra dividitur[6] solidum corpus, corpus simpliciter dicens ipsum, velut apparentis soliditatis in corpore, quoniam nichil minus interminatum corpus. Differentiam autem luminis et corporis et eorum in quibus hec dyafanorum ostendit per hoc. Lumen quidem enim *** interminato dyafano et non habente proprium terminum. Sicut enim non habent talia corpora, secundum quod corpora, proprium aliquem terminum, sed semper

[1] hoc igitur *répété*. — [2] sicut. — [3] in interminato] minato. — [4] interminant. — [5] cum. — [6] dividatur.

τοιαῦτα σώματα, καθὸ σώματα, οἰκεῖόν τι πέρας, ἀλλ' ἀεὶ ὑπὸ ἄλλου ὁρίζεται καὶ περατοῦται, οὕτως οὐδὲ χρῶμα· οἰκεῖον ἔχει τῷ τὸ μὲν χρῶμα πέρας καὶ τοῦτο εἶναι τοῦ σώματος, καθὸ διαφανές τε καὶ χρώματος δεκτικὸν καὶ ὁρατόν, ταῦτα δὲ μὴ ἔχειν οἰκεῖον πέρας. Ἐπεὶ δέ ἐστι καὶ ἐν τοῖς στερεοῖς σώμασιν ἡ διαφάνεια, καὶ[1] *οἰκεῖον*[2] *ἔχει πέρας καὶ ὡρισμένον ταῦτα*[3]*, τοῦ ἐν τοῖς στερεοῖς σώμασι*[4] *διαφανοῦς ἀνάγκη μὲν*[5] *εἶναι ἔσχατόν τι καὶ τοῦτο ὡρισμένον, ὥσπερ καὶ*[6] *καθὸ σώματα ἦν. Συνοδεύει γὰρ καὶ ἐν τῷ ὑποκειμένῳ τό*[7] *τε ὡς σώματος καὶ τὸ*[8] *ὡς διαφανοῦς πέρας.*

439 a 29-33. « *ὅτι... πέρας.* » *Τοῦτο δὲ ὅτι τὸ χρῶμά ἐστι προσβιβάζει ἀπὸ τῶν συμβεβηκότων. Τὸ γὰρ χρῶμα ἢ ἐν τῷ πέρατι τοῦ σώματος ἢ πέρας τοῦ σώματός ἐστι. Καὶ ὅτι τοῦτο*[9] *οὕτως ἔχει, παρατίθεται τὴν τῶν Πυθαγορείων δόξαν, ὅτι τὴν ἐπιφάνειαν, ὅ ἐστι πέρας τοῦ σώματος, χρόαν*[10] *ἔλεγον. Παραθέμενος δὲ τὴν ἐκείνων δόξαν, ἐπα-*

[1] *καὶ... διαφανοῦς* om. BAC, avec un blanc de vingt-huit lettres B, de dix-huit A, de quinze C. — [2] *.ἰκεῖον* M. — [3] *...α ἐκ* M. — [4] *...ασι* M. — [5] *μὴ* ABC. del. M. — [6] om. AMBC. — [7] *τῷ* AMC. — [8] *τῷ* i... — [9] *οὐχ* add. ABC. — [10] *χρώαν* AMC.

---

ab *** terminantur et finiuntur[1], sic neque colorem proprium habent, eo quod color terminus et hoc sit corporis, secundum quod dyafanum et coloris susceptivum et visibile, hoc autem non habeat proprium terminum. Quoniam autem est et in solidis dyafania[2] et proprium habent terminum hec[3] et terminatum[4], eius quod *** solidis corporibus dyafani necesse quidem esse extremum aliquid et hoc terminatum, sicut et secundum *** corpora erant. Concurrunt enim in subiecto et quod corporis et quod dyafani terminus.

439 a 29-33.] Hoc autem quod color sit confirmat ab accidentibus. Color enim qui in termino corporis est aut terminus corporis est. Et quod hoc sic habeat, proponit Pitagoricorum opinionem, et quia superficiem, que est terminus corporis, colorem dicebant. Proponens

[1] sumuntur. — [2] dyafana. — [3] hoc. — [4] terminant.

νορθῶν αὐτὴν λέγει εἶναι μὲν ἐν τῷ πέρατι τοῦ σώματος, ὅπερ ἐστὶν ἡ ἐπιφάνεια, τὸ χρῶμα, οὐ μὴν εἶναι τὸ τοῦ σώματος πέρας. Καὶ οὐχ[1] ὡς σώματός ἐστι πέρας τὸ χρῶμα. Τὸ μὲν γὰρ χρῶμα ποιότης, ἡ δὲ ἐπιφάνεια ποσόν, εἴγε μέγεθος ἐπὶ δυὸ διεστός[2]. Καὶ πᾶν μὲν σῶμα ἐπιφάνειαν ἔχει, οὐ πᾶν δὲ κέχρωσται. Καὶ οὔτε, εἰ μία ***[3], ἐξ ἀνάγκης ἓν κατ' ἀριθμὸν χρῶμα (δύναται γὰρ ἐν τῇ[4] μιᾷ κατ' ἀριθμὸν ἐπιφανείᾳ καὶ τὰ ἐναντία εἶναι χρώματα), οὔτε, εἰ ἓν κατ' ἀριθμὸν χρῶμα, ἀνάγκη καὶ[5] ἐπιφάνειαν κατ' ἀριθμὸν εἶναι μίαν. Ὅτι δὲ μὴ τοῦ σώματος, καθὸ σῶμα, πέρας τὸ χρῶμα, ἀλλὰ τοῦ διαφανοῦς, καὶ αὐτὸς διὰ τῶν ἑξῆς δείκνυσι, καὶ ὅτι τὸ διαφανές ἐστι τὸ ἐν τοῖς σώμασι χρωμάτων δεκτικόν.

XIX. 439 a 33-b 14. « ἀλλὰ... ὑπάρχει. » (a 33-b 2. « ἀλλὰ... ἐστιν. ») Προθέμενος δεῖξαι ὅτι τὸ χρῶμα οὐ τὸ[6] τοῦ σώματος πέρας ἐστὶν,

[1] om. ABC. — [2] διεστῶς B. — [3] Suppléez κατ' ἀριθμὸν ἐπιφάνεια. — [4] om. AMC.
[5] om. ABC. — [6] om. ABC.

---

autem[1] illorum opinionem, corrigens ipsam ait esse quidem in termino corporis, qui est superficies, colorem ***. Color quidem enim qualitas, superficies autem quantum, si quidem magnitudo ad duo distans. Et omne quidem corpus superficiem habet, non omne autem coloratum est. Et neque, *** una, ex necessitate unus[2] secundum numerum color[3] (possunt enim in una secundum numerum superficie et contrarii esse colores), neque, si unus secundum numerum color, necesse et superficiem secundum numerum esse unam. Quod autem non corporis, secundum quod corpus, terminus color, sed dyafani[4], et ipse per sequentia ostendit, et quia dyafanum est in corporibus colorum susceptivum.

XIX. 439 a 33-b 14. « Sed eandem oportet putare naturam. » (a 33-b 2.) Proponens[5] ostendere quod color non terminus corporis, sed in

[1] aut. — [2] una. — [3] colorem. — [4] dyafanum. — [5] propositionem.

ALEXANDRE D'APHRODISIAS. — 439 a 33-b 2.

ἀλλ' ἐν τῷ τοῦ σώματος πέρατι, πέρας ὂν οὐχ ὡς σώματος, ἀλλὰ τοῦ διαφανοῦς, καθὸ διαφανές, πρῶτον δείκνυσιν ὅτι ἐν τοῖς σ7ερεοῖς σώμασι διαφανές ἐσ7ι τὸ χρώματος δεκτικόν. Τὴν γὰρ αὐτήν, φησι, δεῖ[1] νομίζειν φύσιν καὶ ἐν[2] τοῖς σ7ερεοῖς εἶναι καὶ ἐν[3] τοῖς συνθέτοις σώμασι τὴν τοῦ χρώματος δεκτικήν[4], ἥτις καὶ ἔξω τῶν σ7ερεῶν σωμάτων ὁρᾶται χρωματιζομένη. Τοιαύτη δὲ ἀήρ τε καὶ ὕδωρ. Δείκνυσι δὲ διὰ τούτων ὅτι τὸ διαφανὲς χρώματος δεκτικόν. Ἔξω δὲ εἶπε ταῦτα χρωματίζεσθαι, ὅτι ὑπό τινος ἔξωθεν φωτίζεταί[5] τε καὶ χρώννυται οἰκεῖον οὐκ ἔχοντα ***[6]. Τὰ γὰρ ἐξ αὐτῶν καὶ[7] οἰκεῖον ἔχοντα[8] χρῶμα ἐντὸς κεχρῶσθαι[9] λέγει, διότι[10] οἰκεῖον[11] ἔχει καὶ ἐν αὐτοῖς τὸ χρῶμα[12] καὶ τὸ αἴτιον τοῦ χρώματος. Ἡ[13] γὰρ αὐγὴ καὶ τὸ φῶς τὸ ἐν τοῖς[14] ἀορίσ7οις διαφανέσι[15] γινόμενον, οἷά ἐσ7ιν ἀὴρ καὶ ὕδωρ, ***[16] ἀλλὰ καὶ † κίνησις[17]

[1] δεῖν AMC. — [2] τε add. AMBC. — [3] ἐν τοῖς om. AMBC. — [4] δεκτικὸν AMB. — [5] φωτίξεταί A. — [6] Il manque peut-être χρῶμα. — [7] del. M. — [8] ἔχει M. οὐκ ἔχοντο pr. B. — [9] κεχρῶσθαι... ἀορίσ7οις om. AC. — [10] δ' ὅτι M. — [11] ... M. — [12] χρῶμα καὶ] χρω... M. — [13] Ἡ γὰρ]... M. — [14] τοῖς ἀορίσ7οις] ...ορίσ7οις M. — [15] διαφανὲς AC. add. M. — [16] Il manque la fin de la proposition, où Alexandre interprétait sans doute αὐγὴ par le reflet des couleurs du dehors dans les corps transparents. — [17] κίνησις... χρωματίζεται] Il y a ici altération.

---

corporis termino, terminus existens non tamquam corporis, sed tamquam dyafani, secundum quod dyafanum, primo ostendit[1] quod in solidis corporibus dyafanum est coloris susceptivum. Eandem enim[2] oportet putare naturam[3] coloris susceptivam et in solidis et in compositis esse corporibus, que et extra corpus videtur colorata. Talis aerque et aqua. Ostendit per[4] hec quod dyafanum coloris susceptivum. Extra autem dicit hec[5] colorari, quia ab alico de foris illuminantur et colorantur proprium non habentia. Hec[6] enim ex ipsis et proprium habentia colorem intus colorata esse***, que proprium habent in ipsis colorem et causam coloris. Aura[7] enim et lumen quod interminatis dyafanis[8] factum, *** est aer et aqua, sed et motus qui a coloribus hiis

[1] ostendens. — [2] *ante* eandem. — [3] natura. — [4] per hec] quia hoc. — [5-6] hoc. — [7] aurora. — [8] dyafania.

ἡ ὑπὸ τῶν χρωμάτων τούτων ἐσ7ί, †χρωματίζεται[1]. Ἐν γὰρ τούτοις αὐγή τις γίνεται, καὶ ἐν τῷ ἀέρι καὶ ἐν τῷ ὕδατι, ὑπό τινων ἀνθῶν, ὥσ7ε[2] χρώννυσθαι δοκεῖν αὐτά. Ἢ αὐγὴν τὸ φῶς εἶπε τὸ γινόμενον ἐν αὐτοῖς, χρῶμα ὄν πως αὐτῶν. Καὶ ἐν τοῖς σ7ερεοῖς ἄρα ἡ φύσις ἡ αὐτή ἐσ7ιν ἡ τὰ χρώματα δεχομένη.

439 b 3-6. « Ἀλλ'... χρόας. » Ἑξῆς δὲ προσ7ίθησι κατὰ τί ἡ διαφορὰ αὐτοῖς, τούτοις τε τοῖς ἀορίσ7οις διαφανέσιν, ἃ εἶπεν ἔξω ***† ὄντα[3] χρωματίζεσθαι, καὶ τοῖς ὡρισμένοις. Ἐπὶ μὲν γὰρ ἐκείνων διὰ τὸ ἀόρισ7α αὐτὰ εἶναι καὶ μὴ παθητικῶς ἀναδέχεσθαι τὰ χρώματα οὐ τὸ αὐτὸ φαίνεται χρῶμα οὐδὲ ἡ αὐτὴ αὐγή, ἐγγύς τε προϊόντων καὶ ἀφισ7αμένων πορρωτέρω· κατὰ γὰρ ποιὰν σχέσιν καὶ θέσιν τῶν δι' αὐτῶν ὁρωμένων πρὸς τὰ ὁρῶντα καὶ ποσὴν ἀπόσ7ασιν διάφορον τὸ ἐν αὐτοῖς χρῶμα φαίνεται καὶ μεταβάλλεται[4] τῷ μὴ[5] αὐτὰ ἀναδέχεσθαι τὸ χρῶμα τὸ ὁρώμενον· κινούμενα δέ πως ὑπ' αὐτῶν αἰτία τοῖς ὁρῶσι τοῦ ὁρᾶσθαι ταῦτα γίνεται. Ἐν δὲ τοῖς σώμασι (πάλιν δὲ σώματα τὰ σ7ερεὰ λέγει)

[1] χρωματίζεσθαι AMC. — [2] καὶ AMBC. — [3] Lisez [οὐκ οἰκεῖον χρῶμα ἔχ]οντα. — [4] μεταβάλλον AMBC. — [5] τὰ add. M.

---

est, coloratus. In hiis enim lux quedam fit, et in aere et in aqua, ab aliquibus floribus, ut colorari videantur ipsa. Vel auram[1] lumen dixit, quod fit[2] in ipsis, color existens aliqualiter ipsorum. Et in solidis igitur natura eadem[3] est, que colores suscipit.

439 b 3-6.] Deinde autem apponit secundum quid ipsis differentia, hiisque interminatis dyafanis, que dixit extra entia colorari[4], et terminatis. In illis quidem enim, quia interminata[5] ipsa sunt et non passive suscipiunt colores[6], non[7] idem videtur color neque aura[8], prope accedentibus et distantibus longius; secundum habitudinem enim aliqualem et positionem ipsorum que per ipsa videntur ad videntia et quantam distantiam differens in ipsis color videtur et permutatur eo quod*** suscipiant ipsa colorem qui videtur; mota autem aliqualiter ab ipsis causa videndi videntibus hec fiunt. In corporibus autem (iterum

[1] auroram — [2] sic. — [3] eodem. — [4] colorati. — [5] terminabilia. — [6] coloris. — [7] enim *add.* — [8] aurora.

ALEXANDRE D'APHRODISIAS.
—
439 b 3-6.

τὸ αὐτὸ μένει τὸ ὁρώμενον, ἐγγύς τε καὶ ποῤῥωτέρω ἀποχωρούντων, ἄν[1] γε[2] ᾖ τὸ διάστημα σύμμετρον. Οὐ γὰρ τὸ ἐν τούτοις χρῶμα ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, ἀλλ' ἔστιν ἐν αὐτοῖς τοῦτο δι' οὗ αὐτὰ ὁρᾶται, ἀλλ' οὐ διὰ τούτων. Ἀλλ' ἐπειδὴ πολλάκις καὶ ἐν τοῖς οἰκεῖον ἔχουσί τι χρῶμα καί στερεοῖς τὸ περιέχον ἢ πυκνότερον ὂν ἢ λεπτότερον, μᾶλλον πεφωτισμένον ἢ ἧττον, κατὰ ποιὰν τοῦ φωτὸς σχέσιν πρὸς τὰ χρώματα καὶ τὴν μίξιν τὴν πρὸς ταῦτα ἄλλοτε ἀλλοῖα ποιεῖ φαίνεσθαι τὰ ὁρώμενα, ὡς ἐπὶ τοῦ τῆς περιστέρας τραχήλου[3], διὰ τοῦτο ἀσφαλῶς προσέθηκεν τὸ « ἐὰν μὴ τὸ περιέχον ποιῇ μεταβάλλειν, †ὥρισται[4] καὶ ἡ φαντασία τῆς† χρόας[5]. » Ἢ τὸ « ἐὰν μὴ τὸ περιέχον ποιῇ μεταβάλλειν » εἶπεν ἐπὶ τῶν †χρωμάτων[6], λέγων τὰ στερεά· πολλάκις γὰρ καὶ τούτων τὸ χρῶμα ἀλλοῖον ὑπὸ τοῦ περιέχοντος γίνεται ἢ θερμοτέρου[7] ἢ ψυχροτέρου[8] ἢ ὅλως τοιούτου ὄντος, ὡς ὑπ' αὐτοῦ πάσχειν τὸ κεχρωσμένον καὶ μεταβάλλειν.

[1] ἦν A. ἣν C. — [2] τε M. — [3] καὶ add. ABC. — [4] ὥρισται ... χρόας doit probablement être effacé. — [5] χρώας AMC. — [6] Lisez σωμάτων. — [7] θερμότερον ABC. — [8] ψυχρότερον ABC.

---

corpora solida dicit[1]) idem manere quod videtur, propeque[2] et longius recedentium, si sit proportionata distantia. Non enim color qui est in hiis in fieri esse habet, sed est in ipsis hic per quem videntur ipsa, sed non per hec[3]. Sed quoniam sepe et in habentibus proprium colorem aliquem et in solidis continens aut spissius aut subtilius, magis illuminatum aut minus, secundum aliqualem circumdantis habitudinem habens ad colores et mixturam ad hos alias[4] alia qualia videntur, sicut in collo columbe, propter hoc caute apposuit « si non « circumdans faciat permutari, determinata est fantasia coloris. » Vel « si non circumdans faciat permutari » dixit in coloribus, dicens[5] solida; sepe enim et horum color fit alius a circumdante aut calidiore aut frigidiore aut totaliter tali existente, ut ab ipso patiatur et permutetur coloratum.

[1] dicens — [2] prope quia que. — [3] hoc. — [4] alios. — [5] dicit.

439 b 6-10. « Δῆλον... μετέχειν. » Προσθεὶς δε τὴν διαφορὰν τῶν τε ἐν τοῖς ἀορίσΙοις διαφανέσι χρωμάτων καὶ τῶν ἐν τοῖς ὡρισμένοις καὶ τὴν αἰτίαν ἀποδοὺς (χρήσιμον γὰρ ἦν αὐτῷ πρὸς τὸ μὴ ἡγεῖσθαί τινας διὰ τοῦτο τὰ μὲν ἀόρισΙα διαφανῆ εἶναι, τὰ δὲ ὡρισμένα μηκέτι), δῆλόν φησιν ὅτι ἡ αὐτὴ[1] φύσις καὶ τὸ αὐτὸ καὶ ἐν τοῖς σΙερεοῖς καὶ ἐν[2] τοῖς ἐκτός τε ***[3] καὶ ἀορίσΙοις χρώματός ἐσΙι δεκτικόν, καὶ ἔσΙι τοῦτο διαφανές. Καθ' ὅσον ἄρα ὑπάρχει καὶ ἐν τοῖς σώμασιν ἡ διαφάνεια, κατὰ τοσοῦτον[4] αὐτοῖς καὶ χρώματος[5] μέτεσΙιν. Ὅτι δὲ τοῖς μὲν μᾶλλον τοῖς δὲ ἧτΙον[6] ὑπάρχει ἡ φύσις αὕτη[7] οὖσα ἐν πᾶσι, προειρήκαμεν. (439 b 10-12. « Ἐπεὶ... πέρας. ») Εἰπὼν[8] δὲ τοῦτο καὶ λαβὼν ὅτι ἐν τῷ[9] διαφανεῖ, νῦν προστίθησιν ὅτι ἐν τῷ πέρατι τούτου, ἀλλ' οὐκ ἐντὸς[10] τοῦ σώματος, ὡς ἐδόκει τοῖς Πυθαγορείοις. Ὅτι μὲν γὰρ ἐν πέρατι ἡ χρόα ὡς ἐναργὲς λαμβάνει. †Ὁρατὰ[11] γὰρ τὰ σώματα κατὰ τὸ †πέρας. Καθ' ὃ γὰρ ἕκασΙον τῶν ὁρατῶν ὁρατόν ἐσΙι, τοῦτο τὸ χρῶμά ἐσΙιν αὐ-

[1] τοιαύτη AMC. — [2] om. ABC. — [3] Il manque peut-être χρωματιζομένοις. — [4] τὸ τοῦτον AC. — [5] χρώματα corr. B. — [6] ἧτΙον... (11) διαφανεῖ post (108, 6) τὸ δὲ φῶς A. — [7] αὐτη οὖσα] αὐτ.·.·. M. — [8] ... M. — [9] τῷ διαφανεῖ] τ... φανει M. — [10] ἐν τῷ pr. B. — [11] Ὁρατὰ... πέρας doit être transposé après (108, 1) ἐσΙι.

---

439 b 6-10. Apponens autem differentiam colorum in dyafanis *** et in terminatis, causam assignans (utile enim erat ipsi ad non putari quedam propter hoc quidem interminata ***, hec autem terminata quod non adhuc), palam est quod eadem natura et idem susceptivum est coloris in solidis et in exterioribus et interminatis, et hoc est dyafanum. Secundum quantum igitur existit et in corporibus dyafania, secundum tantum et ipsa colore participant. Quod autem hiis quidem magis, hiis autem minus existit natura ipsa existens in omnibus, prediximus. (439 b 10-12.) Cum autem dixisset hoc et accepisset quia in dyafano, nunc apponit quod in fine huius, sed non in eo qui corporis, ut videbatur Pitagoricis. Quod quidem enim in extremitate color velut manifestum ***. Visibilia enim corpora sunt secundum extremitatem. Secundum enim quod unumquodque visibilium[1] visi-

[1] visivum.

τοῦ. Κατὰ δὲ τὸ πέρας τὰ ὡρισμένα διαφανῆ ὁρατά ἐστι. Τὸ πέρας ἄρα τοῦ ὡρισμένου διαφανοῦς[1], καθὸ διαφανὲς, χρῶμά ἐστι. Τὰ γὰρ ἐν βάθει τῶν σωμάτων λέγοιτ' ἂν δυνάμει χρῶμα ἔχειν, ὥσπερ καὶ ὁρατὰ εἶναι. Ὡς γὰρ τὸ ὁρατὰ εἶναι ἔχει, οὕτως[2] ἔχει καὶ τὸ κεχρῶσθαι. Πᾶν γὰρ χρῶμα[3] ὁρατὸν τῇ αὐτοῦ φύσει, εἰ καὶ μὴ τὸ εἶναι αὐτῷ ἐν τούτῳ. Τὸ δὲ φῶς οὐκ ἂν εἴη ἁπλῶς[4] χρώματι[5] ταὐτόν. Οὐδὲ γὰρ[6] ὑπὸ τὸν τοῦ χρώματος λόγον πίπτει[7], ὅτι μὴ παθητικῶς αὐτὸ ἔχει τε καὶ δέχεται τὰ διαφανῆ. (439 b 12-14. « Καὶ... ὑπάρχει. ») Προστίθησι δὲ, βεβαιῶν τὸ πέρας εἶναι τὸ χρῶμα, ὅτι καὶ αὐτῶν τῶν διαφανῶν εἴ τι οἰκεῖόν ἐστί τινος χρῶμα, καὶ τοῦτο κατὰ τὸ πέρας ὁρατόν ἐστι· τὸ γὰρ φῶς οὐ χρῶμα ἦν αὐτῶν· οὐ γὰρ ἴδιον.

XX. 439 b 14-18. « Ἔστι... μέλαν. » Εἰπὼν δὲ ταῦτα ἑξῆς προστίθησι καὶ τὴν αἰτίαν τῆς τῶν χρωμάτων †τῆς[8] ἐν τοῖς σώμασι διαφορᾶς

[1] διαφανη A. — [2] οὕτως ἔχει om. AC. — [3] σῶμα AC. — [4] om. ABC. — [5] χώματι A. — [6] om. ABC. — [7] om. ABC. — [8] Lisez τῶν.

---

bile est, hoc color est ipsius. Secundum terminum autem[1] terminata dyafana visibilia[2] sunt. Terminus igitur terminati dyafani, secundum quod dyafanum, est color[3]. Que enim in profundo corporum dicetur utique potentia colorem habere, quemadmodum et visibilia esse. Sicut enim habent quod[4] visibilia sunt, sic habent et quod colorata sunt. Omnis enim color visibilis propria natura, et si non sit esse ipsi[5] in hoc. Lumen[6] autem non utique erit color aliquis simpliciter neque sub ratione coloris, quia non passive ipsum habent et suscipiunt[7] dyafana. (439 b 12-14.) Apponit autem, confirmans[8] quod color sit terminus, quoniam et ipsorum dyafanorum si quis proprius sit alicuius color, et hoc secundum terminum visibile[9] est; lumen enim non color erat ipsorum; non enim proprium.

XX. 439 b 14-18. Et cum hoc dixisset, apponit consequenter

[1] aut. — [2] visiva. — [3] est *add.* — [4] cum. — [5] ut si. — [6] lumini. — [7] sub ponunt. — [8] confirmare. — [9] visibilis.

λέγων· (14-16. « ἔστι... ἐστερῆσθαι.) » Ἔστι δὲ τὸ λεγόμενον· τὸ φῶς τὸ ἐν τοῖς ἀορίστοις γινόμενον διαφανέσι χρῶμά πως ὄν †ἐστι[1]· καὶ γὰρ αὐτὸ παρουσίᾳ φωτὸς ἤ τινος φύσεως φωτίζειν τε καὶ χρωννύναι δυναμένης γίνεται, ἧς[2] ἀπελθούσης, σκότος ἐν τῷ διαφανεῖ γίνεσθαι πέφυκε στέρησις φωτὸς ὄν. (16-18. « Ὥσπερ... μέλαν. ») Ὡς οὖν ἐπὶ τῶν ἀορίστων διαφανῶν ἔχει τὸ ἐν ἐκείνοις χρῶμα παρουσίᾳ γινόμενον τοῦ φωτίζειν δυναμένου, οὕτω φησὶν ἔχειν[3] καὶ ἐπὶ τῶν ὡρισμένων τὸ χρῶμα τὸ οἰκεῖον αὐτῶν[4] ἑκάστου. Ἐν οἷς μὲν γὰρ αὐτῶν οὖσι διαφανέσιν ἐστὶ καὶ τὸ ὑφ' οὗ χρώννυσθαι πέφυκε τὸ διαφανὲς (τοιαύτη δέ ἐστιν[5] ἡ λαμπρὰ καὶ πυρώδης φύσις), ταῦτα ὁρατά τε μᾶλλον καὶ μᾶλλον χρώννυται ἔχοντα τὸ χρῶμα ὡρισμένον τε καὶ μένον, ὅτι καὶ τὸ παρεκτικὸν καὶ αἴτιον τοῦ χρώματος ἐν αὐτοῖς ἔχει, καὶ ταῦτά ἐστι τὰ λευκὸν ἔχοντα τὸ χρῶμα· καὶ γὰρ ἡ χιών, διότι πλεῖστον ἀέρα ἔχει,

[1] Lisez ἔνεστι. — [2] ὡς ABC — [3] ἔχει AM. — [4] αὐτοῦ AC. — [5] ἦν AMBC.

---

et causam differentie[1] colorum in corporibus[2] dicens: (14-16.) « Adhuc « quidem igitur esse in dyafano hoc quod quidem etiam in aere facit « lumen. » Est autem quod dicitur: lumen quod in interminatis[3] fit dyafanis color aliqualiter existens ***; et enim ipse presentia luminis *** alicuius nature illuminare et colorare potentis fit, qua abcedente, tenebra que in dyafano fit[4] privatio habens luminis existens. (16-18.) Quomodo igitur in interminatis[5] dyafanis se habet color qui in illis factus presentia potentis illuminare, sic ait habere et in terminatis colorem proprium unicuique ipsorum. In quibus enim ipsorum existentibus dyafanis est et a quo colorari natum est dyafanum (talis autem est fulgens et ignea[6] natura), hec[7] visiva magis et magis colorantur habentia colorem terminatum, quia et exhibitivum et causam coloris in ipsis habent, et hec[8] sunt *** habentia colorem; et enim nix, quia

[1] dividere. — [2] coloribus. — [3] terminatis. — [4] sit. — [5] terminatis. — [6] ignena. — [7-8] hoc.

ALEXANDRE D'APHRODISIAS. — 439 b 16-18.

ἔστι δὲ καὶ ἐξ ὕδατος, διαφανῶν ἀμφοτέρων, μάλιστά ἐστι[1] διαφανὴς καὶ λευκὴ διὰ τὴν κίνησίν τε καὶ τρίψιν τοῦ ἀέρος κινουμένου, ἣ[2] τοῦ λευκοῦ καὶ ἀφρώδους χρώματος αἴτιος· ἡ γὰρ κίνησις αὐτὸν †συνάγουσα[3] †διὰ[4] τὴν περιέχουσαν τοῦ νέφους †ψυχρότητα παχύτερον ποιεῖ θερμαίνουσα καὶ συνίστησι, καὶ οὕτω κρατηθεὶς ὑπὸ τοῦ ἐκτὸς ψυχροῦ πήγνυται. Ἐν οἷς δὲ μὴ ἔστιν ἢ ἧττόν ἐστιν ἡ τοιαύτη φύσις, ταῦτα μέλανά τε καὶ ἐν στερήσει χρώματος ἀνάλογον τῷ σκότῳ ἐν τοῖς διαφανέσιν ὄντι[5], ὁπόταν μὴ παρῇ τὸ φωτίζειν τε καὶ χρωννύναι αὐτὰ δυνάμενον. Καὶ τὰ μεταξὺ δὲ χρώματα δῆλον ὅτι κατὰ τὴν αὐτὴν ἀναλογίαν τῆς ποιᾶς τοῦ ἐν τούτοις παρουσίας τε καὶ μίξεως γένοιτο ἄν, ὃ καὶ ἐφεξῆς ζητήσει. Ἔοικε δὲ οὐ τῇ τοῦ[6] διαφανοῦς ἐπιτάσει τε καὶ ἀνέσει τὴν τῶν χρωμάτων ἀνατιθέναι διαφορὰν, ἀλλὰ τῇ τοῦ φωτίζειν καὶ χρωννύναι πεφυκότος αὐτὸ παρουσίᾳ τε καὶ ἀπουσίᾳ. Ἢ ἐξ ἀμφοῖν

[1] δὲ AMBC. — [2] ἡ ABC. — [3] *συνέλκουσα* AC. *συνάγουσα* pr. B. *συνέχουσα* corr. B. Lisez *συναγόμενον*. — [4] *διὰ... ψυχρότητα* doit être transposé après (5) *οὕτω*. — [5] *ὄντα* AMBC. — [6] om. ABC.

---

plurimum aerem habet, adhuc autem et ex aqua, dyafanis ambobus, maxime est dyafana et alba propter motum et contritionem aeris moti, albi et spumosi coloris causam; motus enim ipsum congregatis propter circumstantem nubis frigiditatem spissiorem facit calefaciens et constare facit, et sic victus ab extrinseco frigore coagulatur. In quibus autem non est aut minus est talis natura, hec nigra et in privatione coloris proportionatur tenebris existentibus in dyafanis, quando non potens fuerit presens ipsa illuminare et colorare. Intermedii autem colores palam quod secundum eandem proportionem aliqualis presentie in hiis et mixtionis fient utique, quod consequenter inquiret. Videtur[1] autem non intentioni[2] dyafani et remissioni[3] colorum differentiam assignare, sed presentie[4] et absentie[5] potentis illuminare et

[1] videntur. — [2] intentione. — [3] remissione. — [4] presentia. — [5] absentia.

ἂν γένοιτο· καὶ γὰρ τῇ διαφανείᾳ καὶ τῇ παρουσίᾳ τοῦ χρωννύναι τι πεφυκότος τὸ μᾶλλον ἢ ἧττον εἶναι[1] *εἴη ἄν, καὶ τὸ διαφανὲς μᾶλλον* ***[2] *τοῖς στερεοῖς ἐν τῇ ποιᾷ μίξει τῶν προειρημένων.*

XXI. 439 b 18-440 a 7. « *Περὶ... οὗτος.* » (439 b 18-19. « *Περὶ... λεκτέον.* ») *Ἐν τοῖς στερεοῖς σώμασι τὴν μὲν μίξιν καὶ παρουσίαν τοῦ φωτίζειν πεφυκότος ἐν τῷ διαφανεῖ τὸ λευκὸν χρῶμα ποιεῖν*[3] *εἰπών,* †*τῇ*[4] *δὲ* †*ἀπουσίᾳ τούτου τὸ μέλαν, ἀναλόγως τῷ ἐν τῷ ἀορίστῳ διαφανεῖ γινομένῳ φωτί τε καὶ τῷ σκότῳ, ἐφεξῆς ζητεῖ περὶ τῶν μεταξὺ*[5] *χρωμάτων,* [*μεταξὺ*[6] *λέγω*] *τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος, πῶς γίνεται. Ἐπεὶ δὲ δοκεῖ μίξει γίνεσθαι τῶν ἐναντίων, ἐκτίθεται τοὺς τρόπους καθ' οὓς δύναται ἡ κατὰ τὰ χρώματα διαφορὰ γίνεσθαι ἐκ τῆς τοῦ λευκοῦ τε καὶ τοῦ*[7] *μέλανος μίξεως.*

439 b 19-25. « *Ἐνδέχεται... ἕτερον.* » *Ἔστι γάρ τινα ἃ κατ' ἰδίαν μὲν*

[1] om. AMC. — [2] Suppléez *καὶ ἧττον*. — [3] om. AC. — [4] Lisez *τὴν δὲ ἀπουσίαν*. — [5] *ἐφεξῆς* ABC. — [6] *μεταξὺ λέγω*] om. AMBC. — [7] om. AMC.

---

colorare ipsa, si ex ambobus utique fiant. Et enim dyafaneitate et presentia potentis colorare aliquod magis esse et minus erit, et dyafanum magis solidis in aliquali mixtione predictorum.

XXI. 439 b 18-440 a 7. « De aliis autem coloribus dividentem « quod minus contingunt fieri dicendum. » (439 b 18-19.) Cum dixisset[1] in solidis corporibus mixturam quidem et presentiam[2] nati illuminare in dyafano album colorem facere, absentia autem huius nigrum, proportionaliter ei[3] quod in interminato[4] dyafano fiat lumen et tenebra, consequenter inquirit de intermediis coloribus, intermediis dico albi et nigri, quomodo fiunt. Quoniam autem putat mixtura[5] contrariorum fieri, exponit modos secundum quos potest fieri differentia secundum colores ex albi et nigri mixtura.

439 b 19-25. Contingit quidem enim, ait, et secus invicem posita

[1] dixis. — [2] presentia. — [3] eo. — [4] terminato. — [5] mixturam.

ὄντα ἐκφεύγει τὴν ὄψιν, συντεθέντα δὲ ἀλλήλοις ὁρᾶται. Ἀπὸ γοῦν διασΊήματός τινος πυρὸν μὲν ἕνα κείμενον οὐκ ἄν τις ἴδοι· εἰ δὲ σωρὸς πυρῶν γένοιτο, ὁρῷτο ἂν ἀπὸ τοῦ αὐτοῦ διασΊήματος. Ὡς δὲ ἀπὸ τοῦ αὐτοῦ διασΊήματος τούτων τὸ μὲν ὁρατὸν, τὸ δὲ οὔ, οὕτω δύναταί τινα διὰ σμικρότητα μηδ' ὅλως κινεῖν τὴν ὄψιν καθ' αὑτά, τὸ δὲ[1] ἐκ τῆς[2] τοιαύτης τῶν προειρημένων χρωμάτων παραθέσεως ὁρώμενον οὐδετέρῳ μὲν ταὐτὸν ἔσΊαι[3] τῶν παρακειμένων ἀλλήλοις, ἔσΊαι[4] μέντοι τι χρῶμα, εἴγε καὶ[5] ὁρατόν· ἄλλο ἄρα τι χροιᾶς[6] [εἶδος[7]] ἔσΊαι. (439 b 25-440 a 1. « ἜσΊι... φοινικοῦν. ») ἜσΊαι δὲ κατὰ τὴν ἀναλογίαν τῶν παρατιθεμένων τε καὶ συντιθεμένων ἀλλήλοις λευκῶν τε καὶ μελάνων τῶν[8] διὰ σμικρότητα ἀοράτων πλείω καὶ διαφέροντα ἀπογεννώμενα[9] χρώματα. Ἄλλο

[1] δὴ AMBC. — [2] om. AMC. — [3] ἔσΊι AMBC. — [4] ἔσΊαι ... [εἶδος] ἔσΊαι om. ABC. ...σθαι M. — [5] ... M. — [6] χρείας M. — [7] [εἶδος] ἔσται] ...εσθαι M. — [8] om. ABC. — [9] ἀπογεννόμενα A.

---

et nigrum et album, ita ut utrumque quidem ipsorum sit propter parvitatem invisibile, et quod compositione talium fiat visibile et faciat aspectum alicuius alterius coloris. Sunt enim quedam que similiter manentia distinguit visum, manentia autem invicem videntur. A distantia igitur quadam granum quidem unum non utique quis videbit; si autem cum aliis fiat, videbuntur utique ab eadem distantia. Sicut autem ab eadem distantia horum hoc quidem visibile, hoc autem non, sic possunt quedam propter parvitatem neque totaliter movere visum secundum se, quod autem ex tali appositione predictorum[1] colorum secundo (?) quidem idem non secus positorum invicem, erit tamen aliquis color, si quidem et visibilis; alia aliqua species coloris***. (439 b 25-440 a 1.) Erunt autem, secundum proportionem secus positorum et compositorum invicem alborum et nigrorum eorum que propter parvitatem non[2] videntur omnino, plures et differentes facti colores. Aliud quidem enim equale equalibus***,

[1] predictos. — [2] *Répété.*

ALEXANDRE D'APHRODISIAS. — 439 b 25-440 a 1.

μὲν γὰρ ἴσων[1] ἴσοις παρατιθεμένων, ἄλλο δὲ κατὰ τὴν ἑκατέρου τε ὑπεροχὴν καὶ τὴν τῆς ὑπεροχῆς ἀναλογίαν· οὐ γὰρ ὁμοίως, διπλασίων τε τῶν λευκῶν ὄντων καὶ ἡμιολίων ἢ ἐν ἄλλῃ τινὶ ὑπεροχῇ. Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῆς τοῦ μέλανος ὑπεροχῆς. Καὶ τὰ μὲν ἐν λόγῳ τινὶ καὶ σύμμετρα τῶν[2] ὑπαρχόντων πρὸς ἄλληλα ἔσται[3], τὰ δὲ ἐν ὑπεροχῇ ἁπλῇ, καὶ ἔσται[4] αὐτῶν ἡδέα μὲν καὶ προσηνῆ τὰ ἐν λόγῳ τῆς ὑπεροχῆς ὄντα σύμμετρα, οὐ τοιαῦτα δὲ τὰ ἀσύμμετρα, ἀνάλογον τοῖς κατὰ τὰς συμφωνίας. Καὶ γὰρ ἐν ἐκείνοις ἡ διαφορὰ κατὰ τοὺς ἐν τοῖς ἀριθμοῖς τῆς ὑπεροχῆς λόγους. Ἡ μὲν γὰρ ἔχουσα ὡς δύο πρὸς ἓν διαπασῶν καλεῖταί τε καὶ ἔστιν ἡ δὲ τῶν[5] τριῶν πρὸς τέσσαρα, διατεσσάρων. Ὅταν δὲ μηδένα λόγον ἔχωσιν οἱ φθόγγοι πρὸς ἀλλήλους, ἀνάρμοστον καὶ ἀσύμφωνον τὸ ἀκουόμενόν ἐστιν, ἀκουόμενον μέντοι. Οὕτω δὲ καὶ ἐπὶ τῆς τῶν λευκῶν τε καὶ μελάνων παραθέσεως τῶν διὰ σμικρότητα

[1] ἴσον AC. pr. B. — [2] om. AC. — [3] ἔσεσθαι AMBC. — [4] ἔσεσθαι AMBC. — [5] τῶν τριῶν] τρίτη AC. τρια B.

---

aliud autem secundum alterius excellentiam et excellentie analogiam; non enim similiter[1], duplis et albis existentibus aut maioribus aut in aliqua excellentia. Eadem ratio et in nigri[2] excellentia. Et hec[3] quidem in ratione alica et commensurata existentium ad invicem erunt, hec autem in excessu simplici[4], et erunt ipsorum delectabilia quidem et accommoda que sunt in ratione excellentie commensurata, non talia autem que incommensurata[5], proportionaliter hiis que secundum simphonias. Et enim in illis differentia secundum rationem excellentie in numeris. Hec[6] quidem enim ut duo ad unum dyapason vocatur et est, que autem trium ad quatuor, dyatessaron. Cum autem nullam[7] rationem habeant soni ad invicem, sine armonia et ineptum est quod auditum. Sic et in secus positione alborum et nigrorum propter parvitatem invisibilium habebunt facti colores, puta tri-

[1] similibus. — [2] nigris. — [3] hoc. — [4] et erunt hec autem in excessu simplici *add.* — [5] commensurare. — [6] hiis. — [7] natura.

ALEXANDRE D'APHRODISIAS. — 440 a 1-5-7.

ἀοράτων ἕξει[1] τὰ ἀπογεννώμενα χρώματα, οἷον τριῶν δυσὶν ἢ τεσσάρων δυσὶν ἢ τριῶν τέτρασι ϖαρατιθεμένων τε καὶ μιγνυμένων, καὶ τῶν μὲν ἀναλογίᾳ, τῶν δε ἔξω ταύτης, καὶ ἡδέα μὲν τὰ ἐν ἀναλογίᾳ τῶν συντιθεμένων, ὡς τὸ ἁλουργοῦν καὶ τὸ Φοινικοῦν καὶ τὰ τοιαῦτα, τὰ δὲ ὅσα ϖληκτικὰ[2] καὶ ἀηδῆ οὐκ ἐν ἀναλογίᾳ. (440 a 1-5. « καὶ... ταύτας. ») Καὶ ὀλίγα Φησὶν ἔσεσθαι τὰ ἡδέα διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καὶ τὰ συμφώνως ἡρμοσμένα τοιαῦτα, ἢ καὶ ϖάσας μὲν τὰς χρόας ἐν ἀριθμοῖς τισι τῶν ϖαρατιθεμένων ἀλλήλοις γίνεσθαι, ἀλλὰ τὰς μὲν τεταγμένας ϖαραθέσεις αὐτῶν εἶναι, ἐξ ὧν τὰ ἡδέα χρώματα, τὰς δὲ ἀτάκτους, γίνεσθαι δὲ τὰς ἀτάκτους οὐκ ἐν τῇ τῆς ὑπεροχῆς συμμετρίᾳ, ἀλλ' ἐν τῇ τῆς ϖαραθέσεως ἀταξίᾳ. Ἔσʇι γὰρ τὰ δέκα τοῖς ϖέντε ϖοικίλως ϖαρατιθέναι, καθ' ἃς διαφορὰς ϖαραθέσεων διαφορὰ[3] ἔσʇαι[4] καὶ τῶν χρωμάτων. (440 a 5-7. « Ὅταν... οὗτος. ») Μὴ καθαρὰς δ' ἂν λέγοι ϖαραθέσεις τὰς μὴ †ὁμοίως[5]. Καθαρὰ μὲν γάρ, εἰ ϖαρὰ δύο, Φέρε εἰπεῖν, ἓν

[1] ἕξειν AMBC. — [2] om. AC, avec un blanc de dix-huit lettres A, de treize C. ϖ.. .κτικὰ B. — [3] διαφορὰν AMBC. — [4] ἔσεσθαι AMBC. — [5] ὁμοίας AMBC. Lisez ὁμοίων.

---

bus duobus aut quatuor duobus aut tribus quatuor secus positis aut mixtis, et hiis quidem analogia, hiis autem extra hanc, et delectabilia quidem que in analogia[1] compositorum, quemadmodum farinale purpureum et ***, hec[2] autem quecumque inepta et indelectabilia non in analogia[3]. (440 a 1-5.) Et pauca ait fore delectabilia propter eandem causam, propter quam et simphonice armonizata talia; et si omnes quidem colores in numeris quibusdam compositorum invicem habeant, tamen hee ordinate secus quidem positiones[4] ipsorum sunt, ex quibus delectabiles colores, hee autem inordinate non in excellentie commensuratione, et in secus positionis[5] inordinatione. Contingit enim. x. iuxta. v. varie secus poni, secundum quas secus positionum *** differentia erit et colorum. (440 a 5-7.) Non puras autem dicet secus positiones eas que non similiter. Pura[6] quidem enim, si

[1] anologia. — [2] hoc. — [3] anologia. — [4] positionis. — [5] positis. — [6] paura.

εἴη κείμενον ἐν πάσῃ τῇ μίξει, οὐ καθαρὰ δέ, ὅταν τὰ μὲν παρὰ δύο, τὰ[1] δὲ παρὰ τρία, τὰ δὲ παρὰ ἕν. Εἷς μὲν οὖν τρόπος οὗτος[2] τοῦ πλήθους τῶν χρωμάτων, δύο μὲν ὄντων κατὰ τὸ ὑποκείμενον τῶν χρωμάτων, πολλῶν δε γινομένων τῷ λόγῳ καὶ τῇ μίξει τε καὶ παραθέσει τῇ ποιᾷ τούτων[3], ἐν φαντασίᾳ τὸ πλῆθος τῶν χρωμάτων ἐχόντων, οὐκ ἐν ὑποστάσει. Οὕτω τινὲς καὶ τὰς κράσεις γίνεσθαι λέγουσιν.

XXII. 440 a 7-15. « εἷς... λόγῳ. » Εἰπὼν τὴν δόξαν τὴν τῇ ποιᾷ παραθέσει τοῦ λευκοῦ τε καὶ μέλανος τὴν τῶν ἄλλων χρωμάτων φαντασίαν γίνεσθαι λέγουσαν, δευτέραν πάλιν ἐκτίθεται δόξαν, καθ' ἣν δοκεῖ καὶ αὐτὴν δύνασθαι ἄλλων[4] χρωμάτων[5] φαντασίαν γίνεσθαι[6], μόνων ὄντων ἐν ὑποστάσει τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος. Ἔστι δὲ καὶ αὕτη ἡ τῷ δύνασθαι δι' ἀλλήλων τὸ λευκόν τε καὶ τὸ[7] μέλαν ὁρᾶσθαι τὴν τῶν μεταξὺ χρωμάτων φαντασίαν ἀνατιθεῖσα. Πῶς δὲ διαφαίνεσθαι δι' ἀλλή-

[1] τὰ δὲ] ἢ καὶ ABC. — [2] αὐτὸς AMBC. — [3] τῶν AMC. — [4] μὴ ὄντων AMBC. — [5] om. AMBC. — [6] λέγουσι μὴ ὄντων ἄλλων χρωμάτων add. ABC. del. M. — [7] om. ABC.

---

secus duo verbi gratia unum sit positum in omni mixtura, non pura autem, quando hec quidem secus duo, hec autem secus tria, hec autem secus unum. Unus quidem igitur iste modus multitudinis colorum, duobus quidem existentibus secundum subiectum colorem, multis autem factis ratione et mixtura et secus positione aliquali horum, in fantasia habentium multitudinem colorum, non in ypostasi. Ita quidam[1] et complexiones fieri dicunt.

XXII. 440 a 7-15. « Unus quidem igitur ille modus generationis « colorum ille, unus autem in apparere per invicem. » Cum dixisset opinionem dicentem fantasiam aliorum colorum fieri in aliquali secus positione albi et nigri, secundam iterum exponit opinionem, secundum quam ipsam videtur posse aliorum colorum fantasiam fieri, solis existentibus in ypostasi albo et nigro. Est autem hec[2] in posse videri

[1] quidem. — [2] hoc.

ALEXANDRE D'APHRODISIAS. — 440 a 7-15.

λων τὰ χρώματα δύναται καὶ φαντασίαν διάφορον ἀποτελεῖν δεικνύς, παρέθετο τοὺς γραφεῖς. Οὗτοι γὰρ ὑπαλείφοντές τινα ἐναργεστέραν[1] χρόαν, εἶτα ἐπαλείψαντες ἔξωθεν αὐτῇ τινα ἔλαττον ἔχουσαν τὸ ἐναργές, ποιοῦσιν ἄλλην φαίνεσθαι καὶ οὐχ ὁποία ἦν. Τοῦτο δὲ ποιοῦσιν, ὅταν ὡς ἐν ὕδατι ἢ ἐν ἀέρι βούλωνταί[2] τι ποιῆσαι φαινόμενον. Ἀλλὰ καὶ ὁ ἥλιος διὰ μὲν καθαροῦ τοῦ ἀέρος λευκὸς φαίνεται, ὅταν δὲ δι' ἀχλύος ἢ καπνοῦ βλέπηται, φοινικοῦς ὁρᾶται. Τὸ γὰρ ἐπιτιθέμενον χρῶμα ὅταν διαφέρον ᾖ τοῦ ὑποκειμένου, οὐδετέρου φαντασία ὁλόκληρος σώζεται, ἀλλ' ἄλλο τι παρ' †ἕτερον[3] αὐτῶν τὸ φαινόμενόν ἐστιν. Ἔστι δὲ καὶ τοῦτον τὸν τρόπον πλῆθος χρωμάτων κατὰ τὴν ἀναλογίαν τῶν τε διορωμένων[4] καὶ τῶν[5] δι' ὧν διορᾶται[6] ὄντων λευκοῦ τε καὶ μέλανος. Εἰ μὲν γὰρ εἴη[7] ὑπερέχον τὸ ἐν βάθει ὂν λευκόν, τοῦ ἐπιπολῆς ὄντος μέλανος, ἄλλου χρώματος ἡ φαντασία, εἰ δε ἰσάζοι, ἄλλη,

[1] ἐνεργεστέραν AMBC. — [2] βούλονται AM. — [3] Lisez ἑκάτερον. — [4] ὁρωμένων AMC. — [5] om. AMC. — [6] ὁρᾶται AMC. — [7] ὁ add. AC. τὸ add. M.

---

album et nigrum per invicem assignans mediorum colorum fantasiam. Qualiter autem transparere per invicem colores possunt et fantasiam differentem efficere ostendens proponit pictores. Isti enim sublinientes quemdam evidentiorem colorem, deinde superlinientes ipsi[1] aliquem minus evidentem faciunt alium apparere, non qualis erat. Hoc autem faciunt, quando volunt in aere facere aliquid apparens. Sed et sol per purum quidem aerem albus videtur, cum autem per caliginem aut fumum videatur, puniceus videtur. Superpositus[2] enim color cum differens fuerit a supposito, neutrius fantasia ex toto salvatur, sed alterum aliquid preter alterum ipsorum apparens. Est autem et hoc modo multitudo colorum secundum analogiam[3] et eorum que videntur et eorum per que videntur, existentibusque albo et nigro. Si quidem enim fuerit excedens quod in profundo existens album, in superficie existente nigro, alterius coloris fantasia, si autem equantur, alia, et

[1] ipsa. — [2] suppositus. — [3] anologiam.

ALEXANDRE D'APHRODISIAS.

440 a 15-18.

καὶ εἰ ἀνάπαλιν λαμβάνοιτο, ἄλλη καὶ διάφορος κατὰ τοὺς λόγους τῶν ὑπεροχῶν ἢ τοῦ ἐν βάθει ἢ τοῦ ἐπιπολῆς. Ὅτι δὲ μὴ ἡ αὐτὴ δόξα αὕτη τῇ πρὸ ταύτης, δῆλον· ἐκεῖ μὲν γὰρ παράθεσις ἦν †ἀόρατος[1] καθ' αὑτά, ἐνταῦθα[2] δὲ ὁρατῶν σύνθεσις, τῶν μὲν ὑποτιθεμένων, τῶν δὲ ἐπιτιθεμένων.

XXIII. 440 a 15-18. « Τὸ μέν... αἴσθησιν. » Ἐκθέμενος τὰς δόξας τὰς δύο καθ' ἃς αἱ τῶν πλειόνων χρωμάτων φαντασίαι κατὰ μίξιν τῶν ἐναντίων, τοῦ τε λευκοῦ καὶ τοῦ μέλανος, γίνονται[3], δοκεῖ [ἀναλαβεῖν[4]] τὴν δόξαν προκαταβεβλημένην περὶ τοῦ ὁρᾶν ὑπὸ τῶν ἀρχαίων, ὡς[5] ἄρα τοῦ ὁρᾶν κατὰ τὴν ἀπὸ τῶν ὁρωμένων ἀπόρροιαν γινομένου[6]. Εἴδωλα γάρ[7] τινα ὁμοιόμορφα ἀπὸ τῶν ὁρωμένων συνεχῶς ἀποῤῥέοντα καὶ ἐμπίπτοντα[8] τῇ ὄψει τοῦ ὁρᾶν ᾐτιῶντο. Τοιοῦτοι δὲ ἦσαν οἵ τε[9] περὶ τὸν Λεύκιππον καὶ Δημόκριτον, οἳ καὶ ἐκ τῆς τῶν ἀοράτων[10] διὰ

[1] Lisez ἀοράτων. — [2] ἐνταῦτα AM. — [3] γίνεσθαι AMBC. — [4] ἀναλαβεῖν ...προκαταβεβλημένην] ἐν ᾗ ἦν δόξα προκαταβεβλημένη AMBC. — [5] ὡς ...ὁρᾶν] οἱ M. — [6] γινομένων ABC. γινόμενα M. — [7] om. AMBC. — [8] πίπτοντα AC. — [9] om. AMC. — [10] ὁρατῶν AMBC.

---

si converso accipiantur, alia et differens secundum rationes excellentiarum aut eius[1] quod in profundo aut eius quod in superficie. Quód autem ista opinio non eadem priori palam: ibi quidem[2] enim secus positio erat invisibilis per se, hic autem visibilium compositio, hiis quidem[3] suppositis, hiis autem superpositis.

XXIII. 440 a 15-18. « Dicere quidem igitur quemadmodum antiqui « colorem esse defluxum. » Cum exposuisset duas opiniones secundum quas plurium colorum fantasie fiunt secundum mixturam contrariorum, albi et nigri, videtur resumere opinionem prepositam de videre ab antiquis, tamquam videre fiat secundum defluxum eorum que videntur. Ydola enim quedam similis[4] forme ab hiis que videntur continue defluentia et incidentia visui videndi causa. Isti autem erant qui circa Democritum et Leucippum, qui et ex secus[5] positione invi-

[1] cuius. — [2] quid. — [3] quidem... superpositis] autem superpositis quod hiis quidem suppositis. — [4] simul. — [5] secus positione] susceptione.

ALEXANDRE D'APHRODISIAS.
—
440 a 15-18.

μικρότητα[1] παραθέσεως τὴν τῶν μεταξὺ χρωμάτων φαντασίαν ἐποίουν· ἀλλὰ καὶ Ἐμπεδοκλῆς οὕτω τὸ ὁρᾶν γίνεσθαι λέγει, ὡς πρὸ ὀλίγου[2] ἐμνημόνευσεν. Ὅτι δὲ[3] μὴ ὑγιὴς ἡ δόξα μηδὲ οὕτως οἷόντε τὸ[4] ὁρᾶν γίνεσθαι, ἀλλ' ὡς[5] αὐτὸς ἔδειξεν[6], ὑπομιμνήσκει[7] ἡμᾶς καθόλου δεικνὺς[8] μὴ κατὰ τὰς ἀπορροίας ἀπὸ τῶν ὁρωμένων τὸ ὁρᾶν[9] γίνεσθαι οἷόντε. Εἰ γὰρ οὕτω, δι' ἀφῆς ἡ ἀντίληψις τῇ ὄψει ἔσται[10], εἴγε τὰ ἀποῤῥέοντα σώματα ὄντα τῷ ἐμπίπτειν αὐτὰ[11] ***[12] οὐκέτι[13] προσέθηκεν τὸ ἑπόμενον ἄτοπον. Εἴη δ' ἄν, εἰ[14] δι' ἀφῆς, δεῖν αὐτὴν ψυχροῦ θερμοῦ ὑγροῦ***[15] καὶ[16] τῶν ἁπλῶν ἐναντιώσεων ἀντιλαμβάνεσθαι· οὐδενὸς δὲ τούτων ἀντιληπτικὴ ἡ ὄψις. Ἔτι εἰ συνεχὴς ἀπὸ τῶν ὁρωμένων ἀπόρροια, πῶς οὐκ ἀναλίσκεται ταχέως, τοσαύτης σωματικῆς ἀποκρίσεως ἀπ' αὐτῶν γινομένης; Εἰ δὲ ἀντιπροσκρίνεται[17] αὐτοῖς ἄλλα, πρῶτον μὲν διὰ τί

[1] σμικρότητα AC. — [2] 438 a 4. — [3] om. ABC. — [4] τὸ ... οἷόντε om. ABC. — [5] ὡς αὐτὸς] ὡ. ..τῷ M. — [6] ἔδοξεν M. — [7] ὑπομιμ... M. — [8] δεικν.. M. — [9] ... M. — [10] «hic desunt nonnulla» M. — [11] ἢ ὁραθεισῶν add. ABC del. M. — [12] Il manque quelque chose comme τοῖς ὀφθαλμοῖς αἴτια τοῦ ὁρᾶν τῶν ὀφθαλμῶν ἅπτεται. Ἀλλ' κ. τ. ἑ. — [13] καὶ M. — [14] εἰ ἢ B. — [15] Suppléez ξηροῦ. — [16] om. ABC. — [17] ἀντεισκρίνεται B. ἀντεισκρίνηται AC. ἀντι προκρίνηται M.

---

sibilium propter parvitatem intermediorum colorum fantasiam faciebant. Sed et Empedocles sic[1] fieri videre ait, sicut paulo ante meminit. Quod autem non sana opinio neque possibile videre sic fieri, sed ut ipse ostendit, recordatur nobis universaliter ostendens quod non*** defluxus qui ab hiis que videntur fieri videre possibile sit[2]. Si enim sic[3], per tactum susceptio visui erit, si quidem[4] defluentia corpora existentia eo quod incidant ipsa.............. non adhuc apposuit quod sequitur***. Erit autem utique, si fuerit per tactum, oportere ipsum*** causam contrarietatem suscipere; nullius autem horum susceptivus***. Adhuc si continuus defluxus ab hiis que videntur, quomodo non consumetur velociter, tanta corporea segregatione ab ipsis facta? Si autem e contrario[5] adiunguntur ipsis alia, primo quidem propter quid hoc non semper fit in ipsis, ut equalia ipsa permaneant?

[1] si. — [2] sic. — [3] sit. — [4] que. — [5] contraria.

ALEXANDRE D'APHRODISIAS. — 440 a 15-18.

τοῦτο οὐκ ἀεὶ γίνεται ἐπ' αὐτῶν, ὥσῖε ἴσα[1] αὐτὰ διαμένειν; τίς τε αἰτία τοῦ ὡρισμένως αὔξεσθαι καὶ πάλιν ὡρισμένως μειοῦσθαι; ἔπειτα πῶς ὁμοιοσχήμονα διαμένει; τὰ μὲν γὰρ ἀποῤῥέοντα ὁμοιόμορφα (διὰ τοῦτο γοῦν καὶ χρωμάτων ἡ ὄψις ἀντιλαμβάνεται)· τὰ δὲ προσκρινόμενα διὰ τί τοιαῦτά ἐσῖι; Καὶ εἰ συνεχὴς ἡ ἀπόῤῥοια ἀφ' ἑκάσῖου[2] καὶ κατὰ πάντα τὰ μόρια, πῶς οὐκ ἐμποδίσει τὰ ἀποκρινόμενα τοῖς φερομένοις, ἵνα μὴ[3] προσκριθῇ, ἢ ἐκεῖνα τούτοις, ἵνα μὴ φέρηται; Πῶς δὲ λεπῖὰ ὄντα οὐ σκεδασθήσεται[4], ἀνέμων γε[5] ὄντων; ὁρῶμεν γὰρ, κἂν ἄνεμος ᾖ μεταξύ. Ἔτι πῶς διασῖήματος ἀντίληψις γίνεται, εἰ τὰ ἐμπίπῖοντα ὁ ὀφθαλμὸς ὁρᾷ; Πῶς δὲ καὶ μύοντες οὐκ ὀψόμεθα, εἰ οὕτως ἐσῖὶ τὰ φερόμενα λεπῖά; δυνήσεται γὰρ, καὶ μυόντων, διὰ τῶν πόρων εἴσω χωρεῖν. Διὰ τί δὲ καὶ, ἐπιτεθέντος[6] τοῦ ὁρωμένου τοῖς[7] ὀφθαλμοῖς, οὐκ ὀψόμεθα; καὶ γὰρ τότε ἀποῤῥεύσει[8] τὰ εἴδωλα καὶ δέξεται αὐτὰ ὁ ὀφθαλμός. Ἢ διὰ τί φωτὸς χρεία πρὸς τὸ ὁρᾷν, δεχομένου τὸ ὁρώμενον τοῦ

[1] τε add. AMBC. — [2] ἑκάσῖης ABC. — [3] om. AMBC. — [4] σκεδασθήσονται B. — [5] om. B. — [6] ἐπιτιθέντος AMBC. — [7] τοῖς ὀφθαλμοῖς om. AMBC. — [8] ἀπορεύσει AMC.

---

et que causa quod augeantur determinate et iterum determinate minuantur? deinde quomodo similis forme permanent? defluentia quidem igitur similis forme (propter hoc enim et colores visus suscipit); que autem adiunguntur propter quid[1] talia sunt? Adhuc si continuus defluxus ab unoquoque et secundum omnes partes, quomodo non impedient que segregantur illa que[2] afferuntur, ut non adiungantur[3], aut illa ista ut non ferantur? Quomodo autem subtilia existentia non dispergentur, ventis existentibus? videmus enim, et si ventus sit in medio. Adhuc qualiter distantie perceptio fit[4], si incidentia oculus[5] videt? Quomodo autem et oculis clausis non videbimus, si ita sunt subtilia que feruntur? poterunt enim, et clausis oculis, per poros ingredi. Propter quid autem et, eo quod videtur superposito oculis, non videbimus? et enim tunc affluent ydola et suscipiet[6] ipsa oculus. Aut propter quid[7]

[1] quod. — [2] autem. — [3] adiunguntur. — [4] sic. — [5] oculis. — [6] suscipit. — [7] quod.

ALEXANDRE D'APHRODISIAS. — 140 a 15-18.

ὀφθαλμοῦ, γίνεται; Ἔτι ἤτοι τὰ ἀποῤῥέοντα παράκειται τῷ ὀφθαλμῷ, ἢ τότε φέρεται, ὅταν εἰς αὐτὰ ἐπισΊραφῇ[1]. Εἰ μὲν οὖν παράκειται, οὐδ' ὅλως διασΊήματος ἀντίληψις ἔσΊαι· εἰ δὲ τότε φέρεται, πρῶτον μὲν ἐν πλείονι χρόνῳ τὰ πλεῖον[2] ἀφεσΊῶτα ὀψόμεθα, ὅπερ οὐχ οὕτω γινόμενον ὁρῶμεν[3]· εἶτα εἰ τῷ[4] τοῦ ἀέρος †τοῦ[5] πρώτου ἀποῤῥέοντος καὶ ἐμπίπΊοντος †τοῦ[6] εἰδώλου τῇ †ὄψει ποσῷ[7] ὃς, καὶ αὐτὸς ἐμπίπΊει τῇ ὄψει, κατ' αὐτοὺς τὸ διάσΊημα ὁραθήσεται, πρῶτον μὲν πῶς τοσοῦτον ἀέρα ἡ ὄψις δέξεται; καθ' ἑκάσΊην γὰρ διαφορὰν εἰδώλου τοσοῦτον ἀέρα δέξεται, ὅσος[8] ἐσΊὶν ὁ μεταξὺ αὐτοῦ τε καὶ τοῦ ὁρωμένου· εἶτα ἕξει †τινὰ[9] ἰσχὺν τὰ ἀποῤῥέοντα εἴδωλα, ὡς τοῦτον προωθεῖν δύνασθαι. Εἶτα πῶς, ὅταν ἄνεμος ᾖ, τοῦτο ἔτι σωθήσεται; ὁ γὰρ ἄνεμος ὁρᾶται παρασύρων τὸν μεταξὺ ἀέρα. †Εἰ[10] δὴ τὰ εἴδωλα λεπΊότατα ὄντα διαδύε-

[1] ἐπισΊραφείη B. — [2] πλεῖσΊον AMC. — [3] ἔσΊαι AMBC. — [4] del. M. τὸ corr. B. — [5] τοῦ... ὄψει] Ces mots doivent être transposés après ὃς. — [6] Effacez. — [7] πῶς AMBC. — [8] ὃς AMBC. — [9] Peut-être τίνα en transposant avant ἕξει. — [10] εἰ... διαδύσεται]. Que signifie ici cet argument?

---

lumen requiritur ad videre, suscipiente oculo quod[1] videtur? Adhuc aut[2] defluentia adiacent oculo, aut feruntur, donec ad ipsa revertatur[3]. Si quidem igitur adiacent, omnino non erit perceptio distantie; si autem referuntur, primo quidem in pluri tempore plus distantia videbimus, quod non sic fieri videmus; deinde si eo qui aer primo defluentis et incidentis ydoli visui, quanto qui et ipse incidit visui, secundum ipsos distantia videbitur, primo quidem quomodo tantum aerem visus suscipiet? secundum quamlibet enim differentiam ydoli visus suscipiet tantum aerem[4], quantus est intermedius ipsius et eius quod videtur. Deinde habebunt quendam vigorem defluentia ydola, ut hunc propellere possint. Deinde***, cum ventus fuerit, hoc adhuc salvabitur? ventus enim videtur commovens intermedium aerem. Si itaque ydola subtiliora existentia....... ventorum violentia, quomodo non per

[1] quidem. — [2] autem. — [3] revertantur. — [4] visus *add.*

ALEXANDRE D'APHRODISIAS. — 440 a 15-18.

ται τὴν τῶν ἀνέμων βίαν, πῶς οὐχὶ διὰ τοῦ ἀέρος †διαδύσεται; Τί δὲ ἔσται καὶ τὸ ἀναμέτρουν τὸν εἰσιόντα εἰς τὴν ὄψιν ἀέρα; Πῶς δὲ καὶ τὸ μέγεθος καὶ τὸ σχῆμα τοῦ ὁρωμένου ἡ ὄψις †κρίνει[1], κατὰ τὸ τῆς κόρης μέγεθος δεχομένη ἀπὸ τοῦ φερομένου εἰδώλου μόριον; Καὶ γὰρ εἰ πολλάκις καὶ πολλὰ δέχεται, πῶς καὶ διὰ τί ἄλλοτε καὶ ἄλλο μέρος τοῦ εἰδώλου δέξεται, καὶ οὐχὶ ἀεὶ[2] τὸ αὐτὸ καὶ ἐκ διαστημάτων; Εἰ δὲ καὶ ἀεὶ τὸ παρακείμενον, τίς ἡ σύνθεσις τούτων ἐν τῇ ὄψει, ὡς θέατρον ἢ ναὸν δοκεῖν ἑωρακέναι διὰ οὕτω μικρῶν[3] μορίων τῶν ἐμπιπτόντων ἀπὸ τοῦ ἀπ' αὐτῶν εἰδώλου φερομένου; πῶς δὲ οὐ, μεταξὺ ἀπ' ἄλλων τινῶν εἰδώλων ἐμπιπτόντων[4] τῇ ὄψει, τινὰ[5] διασπάσει τὴν τῆς[6] ὄψεως τῆς τοῦ πρώτου συνέχειαν, εἰ δεῖ[7] τοσαυτάκις καὶ τοσαῦτα εἴδωλα ἐνεχθῆναι ἀπό τινος πρὸς αὐτήν, ὡς κατὰ τὸ τῆς κόρης μέγεθος δεχομένην ἀπ' αὐτῶν, τι ὅλων ἀεὶ δέξασθαι ἄλλο ἀπ' ἄλλου εἰδώλου μέρος[8]; Πῶς δὲ καὶ ἀπὸ τῶν λείων, ὡς ἐσχηματισμένα ἐστὶ[9], τὰ εἴδωλα λαμ-

[1] Lisez κρινεῖ. — [2] post αὐτὸ AMC. — [3] σμικρῶν AC — [4] πιπτόντων ABC. — [5] ante τῇ AMBC. — [6] répété B. — [7] δὴ ABC. — [8] λαμβάνουσαν add. AMBC. — [9] om. AMBC.

---

aerem? Quid[1] autem erit et mensurans introeuntem[2] in visum aerem? Quomodo autem et magnitudinem et figuram eius quod videtur visus iudicat, secundum pupille magnitudinem suscipiens ab eo quod fertur ydoli partem? Et enim si sepe et multa suscipit, quomodo et propter quid alias aliam partem ydoli suscipiet, et non semper eandem et ex distantiis? Si autem et semper quod adiacet, que compositio horum in visu[3], ut teatrum aut templum videatur vidisse per sic parvas partes incidentes ab eo quod ab ipsis ydolato? Quomodo autem non intermedio ab aliis quibusdam ydolis incidentibus visui*** distrahet visus continuitatem, si[4] oportet tociens et tanta inferri ab alico ad ipsum, ut secundum pupille magnitudinem suscipientem ab ipsis aliquid eo quod suscipiat aliam partem ab alio ydolo? Quomodo autem et a planis, ut figurata sunt, ydola suscipit,

[1] qui. — [2] necessitatem. — [3] usu. — [4] sed.

βάνει, οὐχ ἐχόντων ἐξοχάς; ἢ πῶς ἀπὸ τῶν κατόπτρων; ἢ πῶς αἱ ἐξοχαὶ ἀφ' ὧν δύναται φέρεσθαι μένουσιν ἐν τῇ ὄψει, εἰ οὕτως ἐστὶ λεπτὰ καὶ ἀσθενῆ τὰ εἴδωλα, καὶ οὐ συγχέονται; Διὰ τί δὲ κἄν, ὀλίγον ἀπελθόντος τοῦ ὁρωμένου, †ταῦτα[1] μένει[2] †ἢ[3] ἐξ ὧν ἐν τῇ ὄψει; Τὸ δὲ λέγειν μυωπίζεσθαι τὴν ὄψιν ὑπὸ τῶν φερομένων ἐπ' αὐτὴν εἰδώλων καὶ διορίζεσθαι καὶ πρὸς τὸ ὁρᾶν παρασκευάζεσθαι οὐκέτι τηρούντων ἐστὶ τὸ διὰ τῶν εἰδώλων γίνεσθαι τὸ ὁρᾶν. Δῆλον γὰρ ὅτι μυωπισθεῖσα ἡ ὄψις ὑπὸ τοῦ εἰδώλου ἄλλο τι οὐχ[4] ὄψεται, εἰ μὴ τὸ εἴδωλον. Τί οὖν ταῦτα καὶ πῶς; Καὶ ταῦτα μὲν καὶ τοιαῦτα λέγειν ἔστι πρὸς τοὺς ἀπὸ τῶν †ὁρώντων[5] ἀποῤῥεῖν τι λέγοντας καὶ οὕτως ὁρᾶσθαι τὰ ὁρώμενα.

XXIV. 440 a 18-20. *Αὐτὸς δὲ μόνον ὑπομνήσας ὅτι μὴ εὔλογον οὕτω[6] τὸ ὁρᾶν γίνεσθαι, καὶ[7] ἔχων δεδειγμένον ἐν τοῖς ἔμπροσθεν ὅτι μηδὲ[8] ἀπὸ τῆς ὄψεως οἷόντε λέγειν ἀποῤῥεῖν τι καὶ οὕτως ἡμᾶς ὁρᾶν, τίθησι*

[1] *ταῦτα... ἢ*]. Lisez *ταὐτὰ μένοι καὶ κ. τ. ἑ.* — [2] *μένει ἢ*] *μὲν εἴη* ABC. — [3] *ἢ ἐξ ὧν* del. M. — [4] om. AMBC. — [5] Lisez *ὁρωμένων*. — [6] *ὅτω* AC. — [7] om. ABC. — [8] *μηδὲν* ABC.

---

non habentibus prominentias? aut quomodo a speculis? aut quomodo[1] prominentie a quibus possunt ferri manent in visu, si sic sunt subtilia et debilia ydola, et non confunduntur? Propter quid[2] autem et si modicum abcedente eo quod videtur, hec manent aut ex quibus in visu? Dicere autem . . . . impressionem pati visum ab hiis que feruntur ad ipsum ydolis et determinari et ad videre preparari non est adhuc servantium quod per ydola fiat videre. Palam enim quod impressionem passus visus ab ydolo aliud aliquid non videbit nisi ydolum. Quid igitur hoc et quomodo? et*** quidem et talia contingit dicere ad dicentes aliquid defluere a videntibus et sic videri que videntur.

XXIV. 440 a 18-20.] Ipse autem solum recordatus quod non rationabile sic fieri videre, habens ostensum in anterioribus quod neque a visu possibile est dicere et defluere aliquid et sic nos videre,

[1] quo. — [2] quod.

ALEXANDRE D'APHRODISIAS.
—
440 a 18-20.

τὴν αὐτοῦ δόξαν, ἣν ἐν τοῖς περὶ ψυχῆς[1] κατεσκεύασε[2], λέγων· « ὥστ'... ἀπορροίαις. » Δοκεῖ γὰρ αὐτῷ πάσχουσα μὲν καὶ ἡ ὄψις ὑπὸ τῶν ὁρατῶν αἰσθάνεσθαι, ὥσπερ καὶ τῶν ἄλλων αἰσθήσεων ἑκάστη, ἀλλ' οὐχὶ ποιοῦσά τι καὶ ἐκπέμπουσα, πάσχουσα[3] δὲ οὐ τῷ δέχεσθαι ἀπορρέοντά τινα ἀπὸ τῶν αἰσθητῶν, ἀλλὰ τῷ τὸ μεταξὺ τῆς τε ὄψεως καὶ τοῦ ὁρωμένου διαφανές, ὅταν κατ' ἐνέργειαν ᾖ τοιοῦτον (τοιοῦτον δέ ἐστι τὸ πεφωτισμένον), κινεῖσθαι ὑπὸ τῶν ὁρατῶν, τοῦτ' ἔστι τῶν χρωμάτων (κινητικὸν γὰρ τὸ χρῶμα τοῦ κατ' ἐνέργειαν διαφανοῦς)· τὸν αὐτὸν δὲ τρόπον ὑπὸ τῶν χρωμάτων κινεῖσθαι τὸ κατ' ἐνέργειαν διαφανές, ὡς κινούμενον ὑπὸ τῆς τοῦ φωτίζειν πεφυκότος παρουσίας τὸ δυνάμει φῶς δέχεταί[4] τε καὶ φωτίζεται. Κινούμενον γάρ πως καὶ διατιθέμενον τὸ κατ' ἐνέργειαν διαφανὲς ὑπὸ τῶν ὁρατῶν τὸ εἶδος αὐτῶν διαδίδωσι τῇ κόρῃ, ὁμοίως ὡς ἔλαβεν, οὔσῃ καὶ αὐτῇ διαφανεῖ. Καὶ

[1] Arist. *De An.* II, 7. — [2] κατεσκεύασεν AM. — [3] πάσχουσε A. — [4] δέχεταί τε] φαίνεται ABC.

---

ponit opinionem propriam, quam in hiis que de anima construxit, dicens: « Quare confestim melius dicere moveri intermedium sensu a « sensibili fieri sensum quam tactu[1] et defluxu. » Videtur enim visus pati a visibilibus in sentiendo, quemadmodum et aliorum sensuum unusquisque, sed non faciens aliquid et emittens, patiens autem non in suscipiendo defluentia aliqua a sensibilibus, sed eo quod intermedium visus et visibilis dyafanum, cum secundum actum fuerit tale (tale autem est quod illuminatum est), moveri a visibilibus, hoc est a coloribus (motivum enim color secundum actum dyafani): eodem autem modo a coloribus moveri quod[2] secundum actum dyafanum[3], sicut ab actu apti nati illuminare quod movetur potentia lumen suscipit et illuminatur. Motum enim aliqualiter et dispositum quod secundum actum dyafanum a visibilibus speciem ipsorum refundit pupille, similiter ut accepit, existente et ipsa dyafana. Et sic per hanc[4]

[1] tactum. — [2] quid. — [3] dyafani. — [4] hunc.

οὕτω ταύτης δεχομένης διὰ τοῦ διαφανοῦς τοῦ[1] μεταξὺ ***[2] εἶδος τοῦ ὁρωμένου καὶ μέχρι τοῦ πρώτου αἰσθητικοῦ διαδιδούσης †αὐτῷ[3] τῷ τὸν μεταξὺ πόρον τοῦ[4] τοιούτου σώματος εἶναι πλήρη, τὸ ὁρᾶν γίνεσθαι εὔλογον, καὶ[5] οὐ κατὰ τὰς ἀπὸ τῶν ὁρατῶν ἀποῤῥοίας. Ἑξῆς λέγει καὶ τὸ ἑπόμενον ἄτοπον τοῖς ἅμα μὲν τῇ παραθέσει τῶν †ὁρατῶν[6] διὰ μικρότητα[7] †χρωμάτων[8] τὴν[9] μίξιν τῶν παρὰ τὸ λευκόν τε καὶ μέλαν χρωμάτων γίνεσθαι λέγουσιν, ἅμα δὲ[10] τὴν ἀπόῤῥοιαν τοῦ ὁρᾶν αἰτιωμένοις.

XXV. 440 a 20-22. « Ἐπὶ... ἀναίσθητον. » Ἔστι δὲ ὃ λέγει ὅτι τοῖς τῇ παραθέσει ταύτῃ[11] τὴν ὁρατὴν τῶν χρωμάτων μίξιν τε καὶ φύσιν ἀνατιθεῖσιν, ἔτι δὲ τὸ ὁρᾶν τῇ ἀπὸ τῶν ὁρωμένων ἀποῤῥοίᾳ γίνεσθαι λέγουσιν, ἕπεται, ὥσπερ σῶμά τι καὶ μέγεθος λαμβάνουσιν ἀόρατον τῇ αὐτοῦ φύσει, οὕτω λέγειν καὶ χρόνον τινὰ ἀναίσθητον εἶναι. Πᾶσα μὲν

[1] τὸ ABC. — [2] Suppléez τὸ. — [3] Lisez αὐτὸ. — [4] om. ABC. — [5] ὅτι add. ABC. — [6] Lisez ἀοράτων. — [7] σμικρότητα AMC. τῶν add. AMBC. — [8] Lisez σωμάτων. — [9] μὲν A. — [10] om. B. — [11] ταύτῃ τὴν] ταύτην AMC.

---

suscipientem per dyafanum intermedium speciem visibilis usque ad primum sensitivum refundit, eo quod intermedius porus tali corpore sit plenus, et sic fieri videre rationabile, et quod non secundum defluxus a visibilibus. Consequenter dicit et inconveniens quod sequitur dicentibus quidem simul secus[1] positione visibilium propter parvitatem colorum mixturam colorum fieri ab albo et nigro, simul autem causantibus videre per defluxum.

XXV. 440 a 20-22.] « In secus invicem quidem igitur positis necesse, quemadmodum et magnitudinem assumere invisibilem, sic et « tempus invisibile. » Est autem quod dicit quia secus[2] positioni huic visibilem[3] colorum mixturam et naturam reponentibus, adhuc autem dicentibus fieri videre per defluxum a visibilibus, sequitur, quemadmodum et magnitudinem accipiunt invisibilem sua natura, ita dicere

[1] secus positione] susceptione. — [2] secus positioni] susceptioni. — [3] visibile.

ALEXANDRE D'APHRODISIAS.
—
440 a 22-23.

γὰρ κίνησις ἐν χρόνῳ. Διὸ[1] καὶ ἡ τῶν ὁρωμένων ἀπόῤῥοια διὰ κινήσεως ἐπὶ τὰς ὄψεις ἀφικνουμένη δηλονότι ἐν χρόνῳ ἄν τινι ἀφικνοῖτο. Τοῦτον δὲ τὸν χρόνον ἀναίσθητον αὐτοῖς ἀναγκαῖον εἶναι, καὶ τὴν αἰτίαν παρατίθησιν.

XXVI. 440 a 22-23. « ἵνα... φαίνεσθαι. » Ἐπεὶ γὰρ κατὰ βραχὺ γίνεται τῇ ὄψει κατὰ τοὺς οὕτω λέγοντας τὸ ὁρᾷν (ὅσον γὰρ οἷα τε δέξασθαι ἡ κόρη τοῦ εἰδώλου, τοσοῦτον καθ' ἑκάστην ἔμπτωσιν ὁρᾷ), δοκεῖ δὲ ὡς ἅπαξ καὶ μιᾷ προσβολῇ καὶ ὡς ἓν ὁρᾷν τὸ ὁρώμενον, δεῖ ἐν ἀναισθήτοις χρόνοις τὰς τῶν τηλικούτων ἐμπτώσεις γινομένας διαλανθάνειν, ἵνα μὴ κατα μικρὸν[2] ἀλλὰ ἀθρόον αὐτὸ ὁρᾷν δοκῇ. Πᾶσι μὲν οὖν τοῖς οὕτω τὸ ὁρᾷν λέγουσι γίνεσθαι ἀναισθήτων χρόνων χρεία. Τοῖς δὲ καὶ τὴν τῶν χρωμάτων διαφορὰν τῇ τῶν ἀναισθήτων[3] σωμάτων παραθέσει ἀνατιθεῖσιν, εἴ γε καὶ τῇ ἀποῤῥοίᾳ λέγοιεν τῇ ἀπὸ τῶν

[1] διότι AMC. — [2] σμικρὰ AC. μικρὰ B. σμικρὸν M. — [3] αἰσθήτων AC.

---

et tempus quoddam insensibile esse. Omnis enim motus in tempore. Propter quod et a visibilibus defluxus per motum ad visum pertingens[1] palam quod in tempore alico pertinget. Hoc autem tempus necessarium dicere ipsis sensibile esse, cuius causam apponit.

XXVI. 440 a 22-23.] « ut[2] motus pertingant[3] et unum videatur[4] « quia simul apparent. » Quoniam enim videtur secundum breve visui[5] fieri secundum sic dicentes videre (quantum enim potest suscipere pupilla ydoli, tale secundum quamlibet incidentiam[6] videt), videtur[7] autem ut simul et una adiectione[8] et ut unum videre quod videtur, oportet in insensibilibus[9] temporibus tantorum incidentias factas percipere, ut non secundum parva, sed[10] ut simul totum ipsum putetur videre. Omnibus quidem igitur dicentibus sic videre fieri oportet insensibilia tempora ponere. Assignantibus autem colorum differentiam secus positioni[11] insensibilium corporum, siquidem et defluxu a visi-

[1] pertinens. — [2] ut. — [3] pertingens. — [4] videtur. — [5] visus. — [6] incidunt. — [7] videri. — [8] adiectio. — [9] sensibilibus. — [10] sunt. — [11] positione.

ὁρωμένων τὸ ὁρᾶν γίνεσθαι, διπλασιασθήσεται[1] τὸ ἄτοπον. Οὐ γὰρ μόνον ἀναίσθητα μεγέθη τούτοις ἀνάγκη λέγειν, ἀλλὰ καὶ χρόνους[2] ἀναισθήτους. Διὰ τοῦτο καὶ ὡς ἰδίως ἑπόμενον τὸ δεῖν λέγειν ἀναισθήτους χρόνους εἶναι τοῖς †κατὰ[3] τὴν τῶν σωμάτων[4] κατὰ μικρὰ[5] †παράθεσιν τὴν[6] τῶν χρωμάτων διαφορὰν[7] ἀνατιθεῖσιν εἴρηκεν. Οὕτω δ' ἂν πολλὰ[8] τὰ ὁρώμενα ὡς ἓν ὀφθείη[9], εἰ[10] λανθάνοι[11] ἡ ἀφ' ἑκάστου αὐτῶν ἀπόρροια καθ' αὑτὴν ἐμπίπτουσα τοῖς[12] ὀφθαλμοῖς[13] καὶ †δοκεῖ[14] ὡς μία ἅπαξ καὶ ἀφανὲς ὁρατὴ[15] γίνεσθαι.

XXVII. 440 a 23-31. « Ἐνταῦθα... ἐπισκεπτέον. » (23-26. « Ἐνταῦθα... μέλαν. ») « Ἐνταῦθα » λέγει περὶ[16] τῆς δόξης τῆς δι' ἀλλήλων τὰ χρώματα ὁρᾶσθαι λεγούσης καὶ οὕτως αὐτῶν τὴν μίξιν ποιούσης. Τὸ γὰρ ἐπιπολῆς χρῶμα κινούμενον ὑπὸ τοῦ ὑποκειμένου αὐτῷ ἀλλοίαν τὴν φαντασίαν ποιήσει τοῦ ὁρωμένου, καὶ κατὰ τὰς τῶν ὑποκειμένων διαφορὰς[17]

[1] διπλασιάζεται AMBC. — [2] χρόνοις AC. — [3] κατὰ τὴν... παράθεσιν] Lisez καὶ τῇ... παραθέσει. — [4] χρωμάτων AMBC. — [5] σμικρὰ AMC. — [6] τῇ ABC. — [7] διαφορᾷ ABC. — [8] ἂν add. ABC. — [9] ὄψεται AMBC. — [10] τισὶ ABC. — [11] λανθάνει pr. B. — [12] τῶν ABC. — [13] ὀφθαλμῶν ABC. — [14] Lisez δοκοῖ. — [15] τοῦ ὁρωμένου AMBC. — [16] ἐπὶ ABC. — [17] τε add. B.

---

bilibus dicunt fieri videre, duplabitur inconveniens. Non enim solum necesse insensibiles dicere magnitudines, sed et tempora insensibilia. Potest et cum singulariter sequens eo quod oporteat dicere insensibilia tempora esse, assignantibus autem colorum differentiam secundum secus positionem corporum per modica dixisse. Sic autem utique quc videntur ut unum videbuntur, quibusdam latet[1] ab unoquoque ipsorum defluxus secundum se incidens oculis, et videtur ut una semel et sine apparentia visibilis fieri.

XXVII. 440 a 23-31. « Hic autem nulla necessitas. » (23-26.) Hic[2] dicit[3] super opinione dicente[4] per invicem videri colores et sic ipsorum mixturam faciente. Superficialis enim color motus a supposito ipsi aliam fantasiam faciet visibilis, et secundum suppositorum diffe-

[1] placet. — [2] hoc. — [3] dico. — [4] dicentem.

ALEXANDRE D'APHRODISIAS.

440 a 26-28.
(440 a 15-29.)

καὶ ἡ τοῦ ὁρωμένου φαντασία διάφορος. (440 a 26-28. « Ὥσ7'... ὁρατόν. ») Ὅτι δὲ βελτίων ἡ δόξα αὕτη περὶ[1] τῆς μίξεως τῶν[2] χρωμάτων τῆς πρὸ αὐτῆς ἔδειξεν, ἐπενεγκὼν τὸ « ὥσ7' εἰ μὴ ἐνδέχεται μηδὲν εἶναι μέγεθος ἀόρατον, ἀλλὰ πᾶν ἔκ τινος ἀποσ7ήματος ὁρατόν. » Ταύτῃ γὰρ ἐκείνης αὕτη[3] πλέον ἔξει, ὅτι οὐκ ἔσ7ι κατὰ ταύτην ἀόρατόν[4] τι σῶμα[5]. Περὶ μέντοι τοῦ ἀναισθήτους χρόνους[6] μὴ ἔσεσθαι ἐπὶ ταύτης οὐδὲν εἶπεν, ὅτι ἀνάγκη τοῦτο ἐπὶ ταύτης γίνεσθαι, εἰ κατὰ ἀπορῥοίας τῶν ὁρωμένων λέγει τις τὸ ὁρᾶν γίνεσθαι.

(440 a 15-29. « τὸ μὲν... ὁρατόν. ») Δύναται τὸ λεγόμενον καὶ οὕτως εἰρῆσθαι. Ἐκθέμενος τὰς δύο δόξας καθ' ἃς οἴόντε πλείω φαίνεσθαι τὰ χρώματα, τήν τε κατὰ παράθεσιν τῶν διὰ μικρότητα ἀοράτων, ἥτις ἦν δόξα τῶν πρὸ αὐτοῦ, καὶ τὴν κατὰ ἐπιπρόσθησιν[7], ἑξῆς εἶπε πῶς γινομένου τοῦ ὁρᾶν δύναται σώζεσθαι τὸ τὴν τῶν χρωμάτων μίξιν κατά

[1] περὶ τῆς] τῶν ABC. — [2] om. ABC. — [3] αὐτῇ A. αὐτῇ BC. — [4] ὁρατόν AMBC. — [5] χρῶμα ABC. — [6] χρώνους A. — [7] ἐπιπρόσθεσιν M.

---

rentias et visibilis fantasia differens. (440 a 26-28.) Quod autem melior opinio ista de mixtione colorum quam prior ostendit, inferens quia « non contingit nullam esse magnitudinem esse invisibilem, sed « omnem ex aliqua distantia visibilem. » Ista enim plus habet quam illa, quia non est secundum hanc invisibile aliquid corpus. De fore tamen insensibilia tempora in hac nichil dixit, quoniam necesse hec in ista fieri, si secundum defluxus visibilium[1] dicat quis fieri videre.

(440 a 15-28.) Potest quod dicitur sic dictum esse. Cum exposuisset duas opiniones secundum quas possibile sed plures apparere colores, videlicet eam que secundum secus positionem invisibilium propter parvitatem, que erat opinio eorum qui ante ipsum, et eam que secundum superpositionem, consequenter dicit quomodo facto videre potest salvari quod fiat colorum mixtura secundum quemdam

[1] visibilia.

ALEXANDRE D'APHRODISIAS.
—
440 a 26-28.
(440 a 15-29.)

τινα γίνεσθαι τούτων τῶν τρόπων· οὐ γὰρ ταῖς ἀποῤῥοίαις, ὡς ᾤοντο οἱ πρὸ αὐτοῦ (ἀφὴ[1] γὰρ οὕτω καὶ ἡ ὄψις ἔσται), ἀλλὰ τῇ τοῦ μεταξὺ τῆς ὄψεως καὶ τοῦ ὁρωμένου διαφανοῦς κινήσει ὑπὸ τῶν ὁρατῶν. Εἰπὼν δὲ ὅτι ἄτοπον τὸ τῇ ἀποῤῥοίᾳ τὴν ὄψιν γίνεσθαι λέγειν καὶ[2] δείξας πῶς, παρατίθεται καὶ δείκνυσι τὸ συμβαῖνον ἄτοπον τοῖς παραθέσει τῶν † ὁρατῶν[3] ***[4] τὴν τῶν χρωμάτων μίξιν λέγουσιν, εἰ ἀποῤῥοίᾳ γίνεσθαι λέγοιεν τὸ ὁρᾶν. Οὐ γὰρ μόνον αὐτοῖς ἀναγκαῖον ἔσται ἀόρατά τινα μεγέθη λέγειν, ἀλλὰ καὶ ἀναίσθητον χρόνον, καὶ διπλασιασθήσεται τὸ ἄτοπον, εἴγε μήτε[5] ἀναίσθητον τῇ αὑτοῦ φύσει μέγεθός ἐστιν, ὡς ἐρεῖ, μήτε ἀναίσθητος χρόνος. Πᾶσι μὲν γὰρ τοῖς ἀποῤῥοίας αἰτιωμένοις ἀκολουθεῖ τὸ ἀναίσθητον χρόνον εἶναι λέγειν. Εἰ δέ τινες τῇ τῶν ἀοράτων[6] παραθέσει τὴν μίξιν τῶν χρωμάτων αὐτῶν γίνεσθαι λέγοιεν, ὡς ἔλεγον οἱ πρὸ αὐτοῦ, τούτοις ἀκολουθήσει ἅμα μὲν μεγέθη ὑποτί-

[1] ἀφῇ AMBC. — [2] καὶ δείξας] ἢ δεικνὺς AMBC. — [3] Lisez ἀοράτων. — [4] Suppléez γίνεσθαι. — [5] μήτι pr. B. — [6] ὁρατῶν AMBC.

---

horum modorum; non enim defluxibus, ut putaverunt qui ante ipsum[1] (tactus enim sic et visus est), sed motu dyafani intermedii inter visum et visibile a visibilibus. Cum autem dixisset inconveniens quod sequitur dicentes visum fieri per defluxum, et ostendisset[2] ***, proponit et accidens inconveniens dicentibus secus positione visibilium nequaquam colorum mixturam, si defluxu dicatur fieri videre. Non enim solis ipsis necessarium est visibiles quasdam magnitudines dicere, sed et insensibile tempus, et duplabitur inconveniens, si neque[3] magnitudo insensibilis propria natura, ut dicet, neque sensibile tempus. Omnibus enim causantibus per defluxum sequitur et insensibile dicere tempus esse. Si autem aliqui invisibilium secus[4] positione mixturam colorum fieri dicant, ut dicebant qui ante ipsum, hos sequitur simul quidem magnitudines supponere invisibiles esse, quod

[1] ipsorum. — [2] osten dis sed. — [3] que natura. — [4] secus positione] susceptione.

ALEXANDRE D'APHRODISIAS.
—
440 a 26-28.
(440 a 15-29.)

θεσθαι ἀόρατα εἶναι, ὃ καὶ αὐτὸ ἄτοπον, ἅμα δὲ καὶ χρόνον ἀναίσθητον, ὡς ἴσον εἶναι τὸ[1] « ἐπὶ μὲν[2] οὖν[3] τῶν παράλληλα κειμένων » τῷ[4] « ἐπὶ μὲν οὖν[5] τῶν παράλληλα κειμένων, ὡς μεγέθη τινὰ ὑποτίθεσθαι[6] ἀόρατα[7] εἶναι, οὕτως ἀνάγκη ἔσται καὶ χρόνους[8] ἀναισθήτους λέγειν. » Οὕτω γὰρ †τὸ[9] κατὰ μικρὸν ἐμπίπτον† μόριον τῇ κόρῃ καὶ κατὰ τοσοῦτον, ὅσον ἡ κόρη δέξασθαι δύναται, ὡς ἕν γε καὶ συνεχὲς ὁραθήσεται, εἰ λανθάνοι ἡ διαφορὰ τῶν χρόνων καθ' οὓς ἐμπίπτει τῇ κόρῃ τὰ ὁρώμενα εἴδωλα καὶ ἓν †δοκεῖ[10] εἶναι ἐν ᾧ τὸ πᾶν ὁρᾷ. Δύο δὲ ἄτοπα ἀκολουθήσει τῇ τοιαύτῃ δόξῃ, τό τε μεγέθη[11] τινὰ λέγειν ἀόρατα καὶ χρόνους ἀναισθήτους, ὧν οὐδέτερον ἀληθές, ὡς προελθὼν[12] δείξει. Εἰπὼν δὲ τὸ ἑπόμενον ἄτοπον τοῖς τὸ ὁρᾶν ταῖς ἀπὸ τῶν ὁρωμένων ἀποῤῥοίαις ἀνατιθεῖσι, καὶ δείξας αὐτὸ[13] ἐπὶ παραδείγματος τοῦ τὴν τῶν χρωμάτων μίξιν ἐκ τῆς τῶν ἀοράτων[14] παραθέσεως γίνεσθαι (ἕπεται γὰρ καὶ χρόνους

[1] τῷ M. — [2] del. M. — [3] om. AMBC. — [4] τῷ... ὡς del. M. — [5] γὰρ ABC. — [6] ὡς add. M. — [7] τινα add. AC. — [8] χρόνοις A. — [9] τὸ... μόριον] Lisez τὰ... ἐμπίπτοντα μόρια. — [10] Lisez δοκοῖ. — [11] μέγεθος AC. — [12] προϊὼν AMC. — [13] αὐτὰ AMBC. — [14] ὁρατῶν AMBC.

---

et ipsum inconveniens, simul autem et tempus insensibile, ut equale esse*** « impositis quidem igitur secus invicem, ut magnitudines « quasdam insensibiles esse, sic necessarium tempus insensibile di- « cere. » Sic enim secundum modicum[1] incidens pars pupille et secundum tantum, quantum pupilla suscipere potest, ut unum et continuum videbitur, si lateat differentia temporum secundum que inciderunt pupille visiva ydola, et non videbitur esse in quo esse videat. Duo autem inconvenientia secuntur talem opinionem, scilicet magnitudines aliquas dicere invisibiles et tempora insensibilia, quorum neutrum verum, ut in sequentibus ostendet. Et cum dixisset inconveniens quod sequitur dicentibus fieri videre per defluxus a visibilibus, et ostendisset ipsum in exemplo[2] colorum mixturam ex invisibilium secus positione fieri (sequitur enim et tempora insensibilia ponere), quia

[1] medium. — [2] exemplum.

ALEXANDRE D'APHRODISIAS.
—
440 a 26-28.
(440 a 15-29.)

ἀναισθήτους τίθεσθαι[1]), ὅτι[2] μὴ τοῦτο ἕπεται τὸ ἄτοπον τοῖς διὰ τῆς τῶν[3] μεταξὺ κινήσεως τὸ ὁρᾶν γίνεσθαι λέγουσιν ἐπιφέρει, πάλιν ἐπὶ τούτου παραδείγματι χρώμενος τῇ δόξῃ τῇ κατὰ τὴν ἐπιπρόσθησιν[4] τῶν χρωμάτων τὴν μίξιν αὐτῶν[5] γίνεσθαι λεγούσῃ. Λέγει γὰρ « ἐνταῦθα δὲ οὐδεμία ἀνάγκη, » τὸ « ἐνταῦθα » λέγων ἐπὶ τῆς δόξης τῆς διὰ τῆς κινήσεως τοῦ μεταξὺ τὸ ὁρᾶν γίνεσθαι λεγούσης, ἣν προέκρινεν αὐτός. Οὐκέτι γὰρ τοῖς οὕτω λέγουσι γίνεσθαι τὸ ὁρᾶν ἀνάγκη λέγειν ἀναίσθητόν τι μέγεθος ἢ ἀναίσθητόν τινα χρόνον εἶναι, καὶ διὰ τί δείκνυσιν ἐπὶ τῶν χρωμάτων τῶν ἐπαληλιμμένων ἀλλήλοις. Οὔτε γὰρ ἀναίσθητα οὕτω τὰ κεχρωσμένα λαμβάνουσιν οὔτε χρόνου δεησόμενα πρὸς τὸ τὰς ἀπὸ τούτων ἀποῤῥοίας πρὸς τὴν ὄψιν ἐνεχθῆναι. Ἀλλὰ τὸ ἐπιπολῆς χρῶμα τῷ διαφανεῖ τῷ μεταξὺ τῆς τε ὄψεως καὶ ἑαυτοῦ γειτνιῶν[6] ἄλλως μὲν ***[7] διαθείη τὸ διαφανὲς τὸ μεταξὺ, ἁπλοῦν τε[8] καὶ καθ'

[1] ἐντίθεσθαι BC. ἐκτίθεσθαι AM. — [2] δέ add AMBC. — [3] om. ABC. — [4] ἐπιπρόσθεσιν M. — [5] αὐτῆς pr. B. — [6] γοιτνιῶντι AMC. pr. B, puis barré. — [7] Suppléez ἄν. — [8] om. B.

---

non hoc sequitur inconveniens dicentibus fieri visum per motum intermediorum infert, iterum de hoc exemplo[1] quodam[2] utens in hac opinione que dicit secundum[3] superpositionem[4] colorum[5] mixturam ipsorum fieri. Dicit enim « hic[6] neque nulla[7] necessitas[8], » « hic » dicens in opinione ea que per motum medii dicit fieri visum, quam prius examinavit ipse. Non adhuc enim sic dicentibus fieri videre necesse dicere insensibilem aliquam magnitudinem aut insensibile aliquod tempus esse, et propter quid ostendit in coloribus superlinitis invicem. Neque insensibilia sic colorata accipiunt neque tempore indigentia ad deferri defluxum ab hiis ad visum. Sed superficialis color dyafano intermedio visus et sui ipsius movens aliter quidem disponet dyafanum intermedium, simplex et per se ens, aliter autem, si

[1] exemplum. — [2] quoddam. — [3] *post* superpositionem. — [4] suppositionem. — [5] colorem. — [6] hoc. — [7] nullam. — [8] necessitatem.

ALEXANDRE D'APHRODISIAS. — 440 a 29-31.

ἑαυτὸ ὄν, ἄλλως δέ, εἰ εἴη τι αὐτῷ ὑποκείμενον ὑφ' οὗ πάσχοι[1]. Οὐ γὰρ ὡς ἁπλοῦν ἔτι διατίθησι τὸ μεταξὺ διαφανές, ἀλλ' ὡς μεμιγμένον καὶ ἕτερόν τι ὂν διὰ τὴν τοῦ ἐπαληλιμμένου χρώματος αὐτῷ διαφορὰν καὶ τὸ[2] ὑπ' αὐτοῦ πάθος γινόμενον ἐν αὐτῷ. Εἰπὼν δὲ ταῦτα καὶ δείξας ἐπιφέρει « ὥστε εἰ μὴ ἐνδέχεται μηδὲν εἶναι μέγεθος ἀόρατον, ἀλλὰ πᾶν ἔκ τινος ἀποστήματος ὁρατόν, καὶ αὕτη τις ἂν εἴη χρωμάτων μίξις, » λέγων ὅτι εἰ μὴ εἴη μεγέθη τινὰ ἀόρατα, ἡ ἐκείνως λεγομένη μίξις γίνεσθαι τῶν χρωμάτων κατὰ τὴν τῶν ἀοράτων[3] παράθεσιν οὐκ ἂν εἴη, εἴγε μηδὲν μέγεθος ἀόρατον, αὕτη δὲ ἡ δευτέρα δόξα ῥηθεῖσα γίνοιτ' ἂν καὶ αὐτὴ τῆς τῶν χρωμάτων μίξεως αἰτία, ἡ κατὰ τὴν ἐπάλειψιν[4] καὶ ἐπιπρόσθησιν[5] ἄλλου ἄλλῳ[6]. Ἐρεῖ[7] γὰρ καὶ ἄλλην τινὰ καὶ †τήνδε[8] κυριωτέραν.

440 a 29-31. « Κἀκείνως... ἐπισκεπτέον. » Καὶ μὴ ὄντων δὲ μεγεθῶν[9]

[1] πάσχει AMBC. — [2] τὸ répété A. pr. BC. — [3] ὁρατῶν AMBC. — [4] ἐπάληψιν A. — [5] ἐπιπρόσθεσιν M. — [6] ἄλλως AMBC. — [7] τὸ εἰ AC. — [8] Lisez τῆσδε. — [9] καὶ add. pr. B.

---

fuerit aliquid ipsi suppositum a quo patiatur. Non enim ut simplex[1] adhuc disponit intermedium dyafanum, aliter mixtum et alterum aliquid ens propter differentiam coloris superliniti ipsi et propter passionem factam ab ipso in ipso. Et cum hec dixisset et ostendisset, infert quod « si non contingit nullam esse magnitudinem invisibilem, « sed omnem[2] ab aliqua distantia visibilem, et ipsa colorum mixtio « quedam[3] utique erit, » dicens quod si non sunt magnitudines invisibiles, aut isto modo dicimus mixturam fieri colorum secundum invisibilium secus positionem, non utique erit, siquidem nulla magnitudo invisibilis. Hec[4] autem secunda[5] opinio fiet[6] utique et mixtionis colorum causa, que secundum superlinitionem et superpositionem alterius alteri. Dicet[7] enim et aliam quandam et hanc principaliorem[8].

440 a 29-31.] Et non existentibus magnitudinibus invisibilibus

[1] simpliciter. — [2] *répété.* — [3] que. — [4] hoc. — [5] sive. — [6] fiat. — [7] dicit. — [8] principarem.

ἀοράτων τινῶν, ὅμως φησὶ μηδὲν κωλύειν καὶ τῇ παραθέσει τῶν χρωμάτων †δόξει[1] τινὰ μίξιν γίνεσθαι τοῖς ἀπὸ πλείονος διασλήματος[2] ὁρῶσι τὰ τοῦτον τὸν τρόπον παρακείμενα. Περὶ γὰρ τοῦ μηδὲν εἶναι μέγεθος ἀόρατον τῇ αὐτοῦ φύσει μηδὲ οὕτω δύνασθαι τὴν μίξιν τῶν χρωμάτων γίνεσθαι, ὡς ἐκ τῆς τῶν ἀοράτων πυρῶν[3] παραθέσεως, ἐν ὑσλέρῳ, φησὶ, δειχθήσεται.

XXVIII. 440 a 31-b 27. « Εἰ... εἴρηται. » Διὰ τούτων τίθησι τὴν αὐτοῦ δόξαν, ᾗ συγκατατίθεται μᾶλλον τῶν προειρημένων. Αἱ μὲν γὰρ προειρημέναι οὐ μίξιν χρωμάτων, ἀλλὰ φαντασίαν μίξεως εἰσάγουσιν· διὸ οὐδὲ ὑπόσλασίν τινα διδόασι τοῖς ἄλλοις χρώμασιν. ***[4] ἣν δὲ αὐτὸς νῦν τίθησι δόξαν, μίξις τε ἀληθῶς ἐσλι χρωμάτων καὶ ὕπαρξις· ἔσλι[5] δὲ ἡ κατὰ τὴν μίξιν τῶν σωμάτων[6] γινομένη. (440 a 31-b 14. « Εἰ.., δῆλον. ») Εἰ γὰρ ἔσλι μίξις τῶν σωμάτων[7], οὐ κατὰ παράθεσιν μόνον, ὡς ᾤοντο οἱ πρὸ αὐτοῦ, παράλληλα τιθεμένων τῶν

[1] δοξάζει AMC. Lisez δόξειν. — [2] om. AC. — [3] πόρων AM. pr. BC. — [4] Suppléez καθ'. — [5] ἐσλι δὲ] ἐσλιν AMBC. — [6-7] χρωμάτων AMBC.

---

aliquibus, tamen ait nichil prohibere et secus[1] positione colorum quamdam mixturam fieri videntibus ab ampliori distantia hoc modo secus posita. De hoc enim quod nulla sit magnitudo invisibilis sua natura neque sic posse fieri mixturam colorum, ut secus positione[2] invisibilium granorum, et in novissimo, ait[3], ostendetur.

XXVIII. 440 a 31-b 27. « Si autem est mixtura corporum non so« lum isto modo quem putant quidam, secus invicem minimis positis, « inmanifestis autem nobis propter sensum. » Per ista ponit nobis suam opinionem, cui consentit magis quam predictis. Predicte quidem enim non mixturam colorum, sed fantasiam mixture inducunt; propter quod neque existentiam aliquam dant aliis coloribus. Opinio autem quam ipse ponit, et mixtio vera est colorum et existentia; est autem que fit secundum mixturam corporum. (440 a 31-b 14.) Si enim est mixtura corporum***, ut putaverunt quidam, secundum secus positio-

[1] secus positione] susceptionem. — [2] positionem. — [3] ut.

ALEXANDRE D'APHRODISIAS. — 440 a 31-b 14.

ἐλαχίστων καὶ ἀδήλων ἡμῖν διὰ τὸ ἀναίσθητα εἶναι, ἀλλά[1] ὅλων δι' ὅλων[2] τρεπομένων, ὡς ἐν τοῖς περὶ γενέσεως δέδειχε[3] περὶ μίξεως λέγων (τοῖς μὲν γὰρ παραθέσει τὴν μίξιν γίνεσθαι λέγουσιν ἀκολουθεῖ ταῦτα μόνον μίγνυσθαι λέγειν ἀλλήλοις, ὅσα ἐνδέχεται διελεῖν εἰς τὰ ἐλάχιστα. Ἔστι δὲ ταῦτα ἐφ' ὧν οἷόντε τῶν ὁμοειδῶν ἕν τι κατ' ἀριθμὸν λαβεῖν, ὃ μηκέτι εἰς ὅμοια διαιρεῖται· διὸ καὶ ἀδιαίρετα ταύτῃ. Ἔστι δὲ τοῦτο ἐπὶ τῶν στερεῶν τε καὶ ἀνομοιομερῶν, οἷον ἀνθρώπων ἵππων κυνῶν βοῶν σπερμάτων. Ἐν ἑκάστῳ γὰρ τούτων ἐστί τι τὸ κατ' ἀριθμὸν ἕν[4], ὃ καὶ ἐλάχιστόν ἐστι τῶν ἐν τῷ αὐτῷ γένει, τῷ μηκέτι εἰς ὅμοια διαιρεθῆναι δύνασθαι· οὔτε γὰρ ὁ εἷς κατ' ἀριθμὸν ἄνθρωπος εἰς ἀνθρώπους ἔτι διαιρεῖται, οὔτε ὁ ἵππος, οὔτε ἄλλο τι τῶν τοιούτων. Καὶ οὕτως ἀδιαιρέτων ἑκάστων[5] κατὰ παράθεσιν μίξις. Ἵπποι γὰρ κυσὶ καὶ

[1] *καὶ* add. AMC. — [2] *ὅλου* AMBC. *ἡμῖν* add. AMC. — [3] Arist. *De Gen. et corr.* I, 10. 327 b 31 et suiv. — [4] *ἓν ὃ*] *ἐν ᾧ* AC. — [5] *ἕκαστα* ABC.

---

nem quamdam solum secus invicem positorum minimorum et inmanifestorum nobis quia insensibilia nobis sunt, sed totorum per tota penetrantium, ut in hiis que de generatione ostendit de mixtione dicens (dicentibus quidem enim mixturam secus positione secuntur hec[1] solum misceri dicere invicem, quecumque contingit[2] dividere in minima. Sunt autem hec in quibus possibile est unius speciei unum aliquid secundum numerum accipere, quod non adhuc in similia dividitur; propter quod et indivisibile sic. Est autem hoc in solidis et anomiomeris[3], puta hominibus equis et canibus bobus seminibus. In unoquoque enim horum est aliquid secundum numerum unum, quod minimum est eorum que in eodem genere, eo quod non possit adhuc in similia dividi; neque enim unus secundum numerum homo et[4] in homines adhuc dividitur, neque equus, neque aliquid aliud talium. Et sic secundum indivisibilium secus[5] positionem mixtura[6]. Equi enim canibus et hominibus et grana ordei granis tritici

[1] hoc. — [2] dicere *add.* — [3] anominomeris. — [4] est. — [5] secus positionem] susceptionem. — [6] mixturam.

ALEXANDRE D'APHRODISIAS. — 440 a 31-b 14.

ἀνθρώποις καὶ κριθαὶ πυροῖς καὶ κέγχροις οὕτω μίγνυνται τῇ τῶν ἐλαχίστων ἐν αὐτοῖς σωζομένων παραθέσει, ὅταν πολλὰ ᾖ· οὐ γὰρ δὴ εἷς ἵππος ἑνὶ ἀνθρώπῳ παρατεθεὶς μεμῖχθαι λέγεται, ἢ εἷς πυρὸς κριθῇ μιᾷ. Ὅσα δὲ ὑγρά τε καὶ ὁμοιομερῆ καὶ μὴ οἷόντε αὐτῶν τὸ ἐλάχιστον λαβεῖν, ταῦτα οὐκέτι οἷόντε τῇ παραθέσει τῶν ἐλαχίστων μίγνυσθαι λέγειν, ἀλλ' ἐν τούτοις διαπαντὸς ἡ μῖξις, ἃ καὶ κυρίως μεμῖχθαι λέγεται· ἔστι[1] δὲ ταῦτα ἐφ' ὧν τὸ κεκρᾶσθαι κατηγοροῦμεν. Πῶς δὲ τοῦτο δυνατὸν ὅλον τι διόλου μίγνυσθαι ἔδειξεν ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς, ὅτε περὶ μίξεως ἔλεγε· διὸ καὶ λέγει ἐν τοῖς περὶ μίξεως εἰρηκέναι. Εἶπε γὰρ ἐκεῖ[2] τὴν ὕλην[3] ἀμφοτέρων τῶν μεμιγμένων εἶναι τὴν αὐτήν, καὶ διὰ τοῦτο ἑκάτερον αὐτῶν καὶ ποιητικὸν τοῦ ᾧ μίγνυται καὶ παθητικὸν ὑπ' ἐκείνου, ***[4], ἵνα[5], ὅταν ἰσάζωνται[6] ταῖς δυνάμεσι τὰ μιγνύμενα, †ἢ[7], ὡς μὴ τὸ ἕτερον αὐτῶν κατισχῦσαν θάτερον εἰς τὸ ἴδιον εἶδος

[1] *γίνεται* ABC. — [2] *τὸ* add. AMC. *τῷ* add. B. Arist. *De Gen. et corr.* I, 10. 328 a 19 et suiv. — [3] *δι'* add. AMBC. — [4] Il manque ici ce qu'Aristote dit 328 a 24-28. — — [5] om. ABC. — [6] *ἰσάζονται* A. — [7] Lisez *ᾖ*.

---

et milio sic miscentur secus[1] positione minimorum salvatorum in ipsis, cum multa fuerint; non enim utique unus equus homini secus positus mixtus esse videtur, aut unum[2] granum tritici uni grano ordei. Quecumque autem humida[3] et non possibile est ipsorum accipere minimum, hec[4] non iam possibile est dicere misceri secus positione minimorum, sed in hiis per totum mixtio, que et principaliter misceri dicuntur; sunt autem hec in quibus..... predicamus. Qualiter autem possibile totum per totum misceri ostendit in hiis que de generatione et corruptione, quod et de mixtura horum diximus; propter quod et ait « in hiis que de mixtione dictum est. » Dixit enim ibi materiam amborum mixtorum esse eamdem, et propter hoc utrumque ipsorum factivum in illud cui miscetur et passivum ab illo, ut cum equentur virtutibus que miscentur, aut ut non alterum ipsorum possit

[1] secus positione] susceptione. — [2] *répété.* — [3] humidi. — [4] hoc.

αὐτοῦ[1] μεταβάλλειν, ἀλλ' ὡς ἑκάτερον ἅμα ϖοιοῦν τε[2] καὶ ϖάσχον[3], ἀποβάλλοντα τὰς ὑπεροχάς, ὧνπερ οὐσῶν ἦν ἀλλήλων διαφέροντα, καὶ τὸ μὲν ὕδωρ, φέρε εἰπεῖν, τὸ δὲ οἶνος ἐν μέσῳ καταστῇ, καὶ ἕν τι εἶδος ἐξ ἀμφοτέρων γένηται καὶ ἡνωμένα ***[4], ἀλλ' οὐ ϖαραθέσει, τῷ εἶναι εὐόριστα[5] καὶ ὑγρὰ †τό[6] τε δι' ὅλων τι μεμίχθαι. Καὶ ἡ τοιαύτη μίξις ἅμα καὶ κρᾶσις καλεῖται), οὕτω δὴ μιγνυμένων τῶν σωμάτων, ἀνάγκη καὶ τὰ χρώματα τὰ ἐν τοῖς σώμασι τοῖς μιγνυμένοις μίγνυσθαι ἀλλήλοις ὅλα δι' ὅλων[7].

440 b 15-18. « καὶ... ϖαντόθεν. » Ὥσπερ οὖν καὶ τὰ ἄλλα αὐτῶν ϖάθη, οὕτω δὴ καὶ ἡ τῶν ἐναντίων χρωμάτων μίξις ἐστίν, ἣν καὶ αἰτίαν φησὶ τοῦ ϖολλὰς εἶναι χρόας· οὐ γὰρ τὴν ἐπιπόλευσιν οὐδὲ τὴν ϖαράθεσιν ϖολλὰ ϖοιεῖν χρώματα, ἀλλὰ μόνον φαντασίαν ϖλειόνων. Ἐπὶ δὲ τῆς τοιαύτης μίξεως καὶ ϖρὸς ἀλήθειαν ϖολλὰ τὰ χρώματα γίνεται. Ὅτι γὰρ μὴ τῷ. φαίνεσθαι μόνον τὸ ϖλῆθος τῶν χρωμάτων, ἀλλὰ

[1] αὐτὸ AMBC. — [2] ϖοιοῦν τε] ϖοιοῦντα AM. ϖοιοῦντ (l'α effacé) C. — [3] ϖάσχοντα M. — [4] Suppléez ᾖ. — [5] ἀόριστα AMBC. — [6] Lisez τῷ. — [7] ὅλον AM.

---

alterum in propriam speciem ipsius permutare, sed ut[1] utrumque simul faciens et patiens abicientia excellentias,.................. .... invicem differentia, et hoc quidem aqua, verbi gratia, hoc autem vinum in medio constituatur[2], et[3] una aliqua species ex ambobus fiat, et unita secus positione, eo quod sicut bene terminabilia et humida tunc per totum aliquid misceri. Et talis mixtio simul et crasis vocatur), sic autem mixtis[4] corporibus, necesse et colores eos qui in corporibus visibilibus mixtos esse totos per totos.

440 b 15-18. Quemadmodum***, et contrariorum[5] colorum mixtio est, quam et causam ait essendi multos[6] colores; non enim supernatationem neque secus positionem multos[7] facere colores, sed[8] fantasiam solum plurimorum[9]. In tali enim mixtura ad veritatem multi colores fiunt. Quod enim non in apparendo solum multitudo colorum,

[1] et. — [2] constituat. — [3] etiam. — [4] mixtos. — [5] contrarium. — [6] multas. — [7] mixtos. — [8] hoc. — [9] plurimum.

τῇ ὑποστάσει, ἔδειξε διὰ τοῦ εἰπεῖν « οὐ γὰρ πόῤῥωθεν μὲν ἐγγύθεν δὲ οὐ φαίνεται † ἡ[1] μία χρόα. » Τὰ γὰρ τῇ φαντασίᾳ πολλὰ καὶ διαφέροντα, οὐ τῇ ὑποστάσει, πόῤῥωθεν μὲν ὁρώμενα ἄλλα φαίνεται, ἐγγύθεν δὲ οὐ τὰ αὐτά, ὥσπερ καὶ τὰ ἔξω τὴν τῶν ἄλλων μίξιν ποιοῦσι. (440 b 18-23. « Πολλαί... μιγνυμένων. ») Πολλὰς δέ φησι διαφορὰς ἔσεσθαι χρωμάτων τὰς κατὰ τὴν τοιαύτην μίξιν τῷ κατὰ διαφέροντας λόγους αὐτῶν τὴν μίξιν γίνεσθαι, καὶ τὰ μὲν ἐν[2] ἀναλογίᾳ τινὶ καὶ λόγῳ τῶν μιγνυμένων γίνεσθαι, τὰ[3] δὲ καθ' ὑπεροχὴν μόνον, ὥσπερ ἐλέγετο καὶ ἐπὶ τῆς παρ' ἄλληλα τῶν ἀοράτων θέσεως ἢ τῶν ἐπιτιθεμένων ἄλλων ἄλλοις. Ὡς γὰρ ἐπ' ἐκείνων ἐλέγετο[4] δύνασθαι[5] τὸ πλῆθος γίνεσθαι τῶν χρωμάτων τῇ ποιᾷ σχέσει τῶν παρακειμένων ἢ ἐπιπροσθούντων, οὕτω καὶ ἐπὶ τῆς μίξεως τῇ ποιᾷ τῶν μιγνυμένων σχέσει πρὸς ἄλληλα. Διὰ γὰρ τὴν τοιαύτην τῶν μιγνυμένων διαφορὰν ἔσται καὶ τὰ μὲν ἡδέα

[1] Effacez. — [2] ἐν ἀναλογίᾳ] ἐναντιολογία AC. — [3] τί AC. — [4] λέγεσθαι AMBC. — [5] ἐδύνατο AMBC.

---

sed existentia, ostendit per hoc quod dicit « non enim de longe, de « prope autem non, apparet unus color. » Que enim fantasia multa et differentia, non ypostasi, de longe quidem visa alia apparent, de prope eadem, quemadmodum et que extra aliorum mixturam faciunt. (440 b 18-23.) Multas autem ait differentias fore colorum qui secundum talem mixturam eo quod fiat mixtura ipsorum secundum differentes rationes, et hec[1] quidem in analogia quadam et ratione miscibilium fiunt, hec[2] autem secundum excellentiam solum, sicut dicebatur et in positione invisibilium secus invicem aut in superpositione aliorum super alios. Sicut enim et in illis dicebatur posse fieri[3] multitudinem colorum aliquali habitudine secus positorum aut superpositorum, sic et in mixtura horum aliquali mixtorum habitudine ad invicem. Propter talem enim miscibilium differentiam erunt et hii quidem de-

[1-2] hoc. — [3] dici.

ALEXANDRE D'APHRODISIAS.
—
440 b 23-27.

μᾶλλον, τὰ δὲ ἧττον τῶν χρωμάτων. (440 b 23-27. « διὰ... εἴρηται. ») Εἰπὼν δὲ ταῦτα, διὰ ποίαν αἰτίαν τὰ εἴδη τῶν χρωμάτων ἐστὶν ὡρισμένα, ἀλλ' οὐχὶ ἄπειρα, ὁμοίως δὲ καὶ τῶν ἄλλων αἰσθητῶν, χυμῶν τε καὶ ψόφων καὶ τῶν ὀσφραντῶν τε καὶ ἁπτῶν, ὕστερόν φησιν ἐπισκεπτέον. Ἐρεῖ δὲ τὴν αἰτίαν προϊών. Ὧν[1] γάρ ἐστι τὰ πέρατα καὶ τὰ ἔσχατα ὡρισμένα, τούτων ἀνάγκη καὶ τὰ[2] μεταξὺ ὡρίσθαι. Ἐν οἷς δὲ γένεσίς ἐστιν ἐναντία[3], πέρατα τούτων τὰ ἐναντία. Τὰ μὲν γὰρ ἐναντία πλεῖστον ἀλλήλων διέστηκε[4]. Τὰ δὲ πλεῖστον διεστῶτα πέρατα, ὅταν ἐν τῷ[5] αὐτῷ γένει[6] ἡ διάστασις αὐτῶν ᾖ. Πάντα δὲ τὰ αἰσθητὰ ἐναντίωσιν ἔχει, ὥστε πάντων τῶν αἰσθητῶν τὰ πέρατα ὥρισται, καὶ διὰ ταῦτα καὶ τὰ μεταξύ. Καὶ τί μέν ἐστι τὸ χρῶμα καὶ διὰ τίνα αἰτίαν πολλὰ χρώματα καὶ διαφέροντα ἀλλήλων ἐστὶν εἰρῆσθαί φησιν, ὅπερ ἦν προκείμενον.

[1] ὧν γάρ] ὅτι γὰρ ὧν AMBC. — [2] om. AMC. — [3] ἐν αἰτίᾳ AMC. — [4] διέστηκεν AM. — [5] τῷ αὐτῷ] ταυτῶ B. — [6] γένει... αὐτῶν] ἡ διάστασις (διάστασιν AC) ἐν γένει AMBC.

---

lectabiles magis, hii autem minus colorum. (440 b 23-27.) Et cum hoc dixisset, propter quam causam species colorum sunt finite, sed non infinite, similiter autem et aliorum sensibilium, saporum et sonorum et odorabilium et tangibilium, posterius ait considerandum. Dicet autem causam procedens. Quorum enim sunt termini et extrema terminata, horum necesse et intermedia determinata esse. In quibus autem est generatio***, termini horum que contraria. Contraria quidem enim plurimum distant. Que autem plurimum distant termini, quando in eodem genere fiat[1] distantia ipsorum. Differentia autem[2] sensibilia contrarietatem habent; quare omnium sensibilium termini terminati sunt, et propter hoc et medium. Et propter*** causam multi colores et differentes ab invicem sunt dictum esse ait, quod quidem erat propositum.

[1] fiunt. — [2] aut.

ALEXANDRE D'APHRODISIAS.
—
440 b 27-28-30.

XXIX. 440 b 27-28. « περὶ… ψυχῆς. » Προθέμενος περὶ αἰσθητῶν λέγειν, περὶ μὲν[1] χρωμάτων, ἅ ἐστιν ὁρατά, εἴρηκε, περὶ δὲ ψόφου καὶ φωνῆς ἐν τοῖς περὶ ψυχῆς φησιν αὐτάρκως εἰρῆσθαι. Εἴρηκε δὲ ἐν ἐκείνοις[2] ὅτι ψόφος μέν ἐστι τοῦ ψοφητικοῦ ἐνέργεια. Ἔστι δὲ ψοφητικὸν μὲν ὁ ἀήρ, ἡ δὲ ἐνέργεια αὐτοῦ γίνεται ὡς ψοφητικοῦ ὑποκειμένου, †ὥστε[3] καὶ †πληγῆς τοιαύτης τε καὶ ὑπὸ τοιούτων ὑφ' ὧν θρύπτεσθαι φερόμενος κωλύεται. Γίνεται δὲ τοῦτο, ὅταν θᾶττον ἡ ἀπὸ τῆς πληγῆς[4] κίνησις ἐν αὐτῷ γένηται τῆς οἰκείας αὐτοῦ θρύψεως. Φωνὴ δὲ πληγὴ τοῦ ἀναπνεομένου ἀέρος ὑπὸ τῆς ἐν τοῖς μορίοις τοῖς[5] φωνητικοῖς ψυχῆς πρὸς τὴν καλουμένην ἀρτηρίαν μετά τινος φαντασίας.

XXX. 440 b 28-441 a 3. « περὶ… ἐστίν. » (28-30. « περὶ… αὐτῶν. ») Περὶ ὀσμῆς καὶ χυμοῦ προθέμενος λέγειν, ὧν τὸ μὲν τῇ ὀσφρήσει αἰ-

[1] om. ABC. — [2] Arist. *De An.* II, 8. — [3] ὥστε… τοῦτο souligné dans M, qui a écrit en marge : ἐνταῦθα ἤτοι λείπει τι [ἢ τὸ] τῇ γραμμῇ σημειωθὲν περισσεύει. Il y a une altération dans les mots ὥστε καὶ πληγῆς. Cf. Arist. *De An.* II, 8. 419 b 18-25. — [4] γῆς AC. — [5] τοῖς φωνητικοῖς] τούτοις ABC.

XXIX. 440 b 27-28.] « De sono autem, inquit, dictum est prius « in hiis que de anima. » Proponens de sensibilibus dicere, de coloribus quidem, qui sunt visibiles, dixit, de sono autem et de voce in hiis que de anima ait sufficienter dictum esse. Dixit autem in illis quod sonus est sonativi actus. Est autem sonativum quidem[1] aer, actus autem ipsius fit ut sonativo supposito, quare et plaga tali et a talibus a quibus cedere prohibetur latus. Fit autem hoc, quando[2] motus a percussura in ipso citius fiat, quam propria ipsius cessio. Vox autem percussura respirati aeris ab anima que in hiis partibus ad vocatam arteriam ab aliqua fantasia.

XXX. 440 b 28-441 a 3.] « De odore autem et sapore dicendum. « Fere enim est eadem passio, non in eisdem[3] autem est utrumque ipso- « rum. » (28-30.) De odore et sapore proponens dicere, quorum hoc

[1] quod. — [2] ante. — [3] eundem.

σθητόν ἐσ7ι, τὸ δὲ τῇ γεύσει, τοῦ ἅμα αὐτῶν μνημονεῦσαι τὴν αἰτίαν παρέθετο, εἰπὼν « σχεδὸν γάρ ἐσ7ι τὸ αὐτὸ πάθος, οὐκ ἐν τοῖς αὐτοῖς δέ, » τὸ μὲν αὐτὸ πάθος, ὅτι δοκεῖ αὐτῷ καὶ ὁ χυμὸς καὶ ἡ ὀσμή, ἐναποπλυνομένου καὶ ὥσπερ ἀπομασ7ομένου τοῦ ἐν χυμοῖς ξηροῦ ἐν τῷ ὑγρῷ, γίνεσθαι, οὐκ ἐν τῷ αὐτῷ δέ, ὅτι ὁ μὲν χυμὸς ἐν τῷ ὕδατι, ἡ δὲ ὀσμὴ μάλισ7α μὲν[1] *ἐν τῷ ἀέρι, γίνεται δὲ καὶ ἐν τῷ ὕδατι. Ἀλλὰ περὶ μὲν τούτων προϊὼν δείξει.* (440 b 30-441 a 3. « *Ἐναργέσ7ερον... ἐσ7ίν.* ») *Εἰπὼν δὲ σχεδὸν τὸ αὐτὸ πάθος εἶναι, τοῦτ' ἔσ7ι δι' ὁμοίου πάθους ἑκατέραν τῶν ποιοτήτων τούτων γίνεσθαι, τοῦ*[2] *τῶν ὁμοίων αὐτῷ καὶ ὁμοίως γινομένων ἐναργέσ7ερον τὸν χυμὸν*[3] *ἡμῖν τῆς ὀσμῆς εἶναι τὴν αἰτίαν προσ7ίθησιν*[4]*· ὅτι γὰρ χειρίσ7ην τε ἔχομεν τὴν ὄσφρησιν τῶν τε ἄλλων ζώων καὶ τῶν ἐν ἡμῖν αὐτοῖς αἰσθήσεων*[5]*, ἀκριβεσ7άτην πάλιν τὴν ἀφὴν τῶν τε ἄλλων αἰσθήσεων καὶ τῶν ἄλλων ζώων· διὰ τοῦτο γοῦν οὐδὲ τὰς ὑπερβολὰς τὰς κατὰ τὸν χειμῶνα καὶ θέρος φέρειν*

[1] om. AC. — [2] om. AMBC. — [3] *χυμῶν* A. — [4] *προτίθησιν* pr. B. *προσέθηκεν* AMC. — [5] *τῶν δὲ λοιπῶν αἰσθήσεων* add. AMBC.

---

quidem sensui olfactivi sensibile est, hoc autem gustui, causam proposuit quare simul de ipsis recordatur, dicens « fere enim est eadem « passio, non[1] in eisdem autem, » eadem quidem passio, quia videtur ipsi et sapor et odor, inabluto et velut inexterso eo quod in humoribus sicco in humido, facta[2] esse, non in eodem autem, *** sapor quidem[3] in aqua, odor autem maxime quidem in aere, fit autem et in aqua. Sed de hiis quidem progrediens ostendet. (440 b 30-441 a 3.) Et cum dixisset fere[4] eandem passionem esse, hoc est per similem passionem utramque harum qualitatum fieri, causam apponit quare similibus et eisdem similiter factis manifestius est nobis saporem esse quam odorem; quia enim pessimum habemus sensum odoratus animalibus et omnibus hiis que in nobis sensibus, acutissimum rursum tactum aliis animalibus, propter hoc neque excellentias secundum

[1] *répété.* — [2] facto. — [3] quod. — [4] sive.

ὁμοίως τοῖς ἄλλοις δυνάμεθα. Καὶ ἡ γεῦσις δὲ †ἀφῆς[1]. Εἴρηκε δὲ περὶ τούτων καὶ[2] ἐν τοῖς περὶ ψυχῆς[3].

XXXI. 441 a 3-29. « Ἡ μὲν... συναίτιον. » (3-6. « Ἡ μὲν... φησίν. ») Πρῶτον τοῦ περὶ χυμῶν[4] ἄρχεται λόγου, καὶ τὸ μὲν ὕδωρ ἄχυμον εἶναι καθ' αὑτὸ καὶ μὴ αἰσθητὸν τῇ γεύσει ὡς ἐναργὲς λαμβάνει. Τὰ[5] γὰρ μάλιστα καθαρὰ[6] καὶ εἰλικρινῆ[7] ὕδατα τοιαῦτα, οὐδ'[8] ἄλλο δέ τι τῶν ἁπλῶν σωμάτων[9] ἔγχυμον καθ' αὑτό, ὡς ἐρεῖ[10]. Ἐπεὶ δὲ δοκεῖ ἐν τοῖς ὑδατώδεσιν ὁ χυμὸς εἶναι, καὶ ἡ γεῦσις διὰ τοῦ[11] τοιούτου ὑγροῦ γίνεσθαι (ἄνευ γὰρ τοιαύτης ὑγρότητος οὐχ οἷόντε γεῦσιν γίνεσθαι, ***[12] ἐν τοῖς περὶ ψυχῆς εἴρηται, ἀλλ' ἔστι παρὰ τὰς τῶν ὑγρῶν μεταβολάς), πῶς †δ'[13] ἐν τούτῳ γίνεται ζητεῖ, καὶ πρῶτόν γε ἐκτίθεται τὰς προκαταβεβλημένας δόξας περὶ τούτων, αἷς ἀντειπὼν[14] περὶ τὴν δόξαν τὴν ἑαυτοῦ στρέφεται. Ἢ γάρ, ὡς Ἐμπεδοκλεῖ δοκεῖ, ἀνάγκη τὸ ὕδωρ ἔχειν ἐν

[1] Lisez ἀφή. — [2] om. AC. — [3] Arist. *De An.* II, 9. — [4] χυμοῦ AM. — [5] τὰ... ἐρεῖ om. AC. τὰ γὰρ]...ρ M. — [6] om. B. — [7] εἰ...ρινῆ M. — [8] ... M. — [9] σω...των M. — [10] ... M. — [11] om. ABC. — [12] Suppléez ὡς. — [13] Effacez ou changez en δή. — [14] ἀντιπὼν AC.

---

hyemem et estatem ferre similiter aliis possumus[1]. Et gustus autem tactus. Dixit autem de hiis in hiis que de anima.

XXXI. 441 a 3-29.] « Aque quidem igitur natura vult insipida « esse. » (3-6.) Primo incipit dicere de saporibus, et aquam[2] quidem insipidam esse secundum se et non sensibilem gustui tamquam evidens assumit. Que enim maxime pure et sincere aque tales, neque aliud aliquid adhuc simplicium corporum enchimum secundum se, *** dicet. Quoniam autem videtur in aquis sapor esse, et gustus per tale humidum apparere (sine tali enim humiditate non est possibile gustum[3] fieri, in hiis que de anima dictum est, sed est preter corporum permutationes), qualiter autem in hoc inquirit, et primo quidem exponit precedentes opiniones de hiis, quibus improbatis inducit opinionem suam. Aut enim, ut Empedocli videtur, necesse aquam[4]

[1] possimus. — [2] aqua. — [3] gustus. — [4] aliquam.

αὐτῷ πάντα τὰ γένη πάντων τῶν χυμῶν, τουτέστι πάντα τὰ εἴδη τῶν χυμῶν, ἐγκαταμεμιγμένα, ἀναίσθητα δὲ διὰ μικρότητα[1], τουτέστι διαφεύγοντα τὴν αἴσθησιν διὰ τὴν μικρότητα[2], καὶ δηλονότι διεσπάρθαι καὶ ὀλίγον ἔγχυμον μεμίχθαι, ὅταν δὲ ὑπὸ τῶν[3] φυτῶν ἢ ὅλως ὑπὸ τῶν χυμόν τινα ἔχειν δοκούντων ἑλκυσθῇ καὶ ἀθροισθῇ τε[4] καὶ ἅμα γένηται πλείω ὅμοια ἀλλήλοις, τότε αἰσθητὰ ἐν τούτοις αὐτὰ γίνεσθαι καὶ διαφέροντα τὰ[5] ἀπὸ τοῦ ὕδατος ἑλκυσθέντα ἀναίσθητα.

441 a 6-8. « ἤ... μέρους. » Ἢ[6] δεῖ γοῦν τοὺς χυμοὺς οὕτως ἐκ τοῦ ὕδατος ἀεὶ γίνεσθαι, ἢ μὴ ἔχειν μὲν τὸ ὕδωρ τοὺς χυμοὺς ἤδη κατ' ἐνέργειαν, εἶναι δὲ αὐτὸ ὕλην τῶν χυμῶν. Τὸ δὲ « οἷον πανσπερμίαν χυμῶν » εἶπεν ἀντὶ τοῦ πάντων τῶν χυμῶν ἔχειν ἐν αὐτῷ τὰ γεννητικά, οὐ μὴν κατὰ[7] τὸ αὐτὸ μόριον δεκτικὸν εἶναι. Καὶ γὰρ οἱ πάντα ἐν πᾶσι μεμί-

[1-2] σμικρότητα AC. — [3] om. AB. — [4] om. AMC. — [5] τὰ ἀπὸ τοῦ ὕδατος ἑλκυσθέντα] ἀπὸ τοῦ ὕδατος ἐν τοῖς διαφόροις τοῖς ἀπὸ τοῦ ὕδατος ἑλκυσθεῖσιν AMBC. — [6] ἢ ...γοῦν] εἴδη A pr. BC. ἢ δεῖ γοῦν corr. B. — [7] κατὰ τὸ αὐτὸ] καθ' αὐτὸ τὸ AMC. καθ' αὐτὸ B.

---

habere in se ipsa omnia genera saporum permixta, insensibilia autem[1] propter parvitatem, hoc est diffugientia[2] sensum propter parvitatem, et palam quod dispersa esse et paucum enchymum mixtum esse. Cum autem a saporibus et plantis que putantur aliquem habere gustum[3] fiunt et congregati[4] fuerint et[5] fiant simul plures similes invicem, tunc ipse fit insensibilis in hiis et differentia que ab aqua extracta[6] insensibilia.

441 a 6-8.] Sed oportet sapores sic ex aqua semper fieri, aut non habere quidem aquam sapores iam secundum actum, esse autem ipsam materiam saporum[7]. Hoc autem « velut panspermiam[8] saporum » dixit loco huius scilicet omnium saporum*** in ipsa generativa, non tamen secundum eandem partem susceptivam esse. Et enim om-

[1] aut. — [2] distinguentia. — [3] tactum. — [4] congregati fuerint] congreguant fuerit. — [5] ut. — [6] et tacta. — [7] sapor. — [8] pauperimam.

ALEXANDRE D'APHRODISIAS.
—
441 a 6-8.

χθαι λέγοντες, ὡς Ἀναξαγόρας, ἐκ πάντων[1] μὲν πάντα[2] ἐκκρίσει γεννῶσιν, οὐ μὴν δὲ ἐκ τοῦ αὐτοῦ μορίου διαφέροντα. Ἐκ γὰρ τοῦ αὐτοῦ μίγματος τῇ μὲν ἐκκρίσει τῶν ὀσΊῶν[3] καὶ τῇ πρὸς ἄλληλα συγκρίσει ὀσΊοῦν φησι γίνεσθαι, τῇ δὲ τῶν[4] νεύρων νεῦρον[5], ἀλλ' οὐ τῇ τῶν ὀσΊῶν νεῦρον. Τὸν αὐτὸν δὲ[6] τρόπον φησὶ καὶ τὸ ὕδωρ ὕλην τῶν χυμῶν εἶναι, οὐχ ὡς ἐκ τοῦ τυχόντος τὸν τυχόντα χυμὸν γίνεσθαι, ἀλλ' ὡς ἐκ τοῦδε τόνδε κατ' ἐπιτηδειότητα τοῦ λαμβανομένου ὕδατος πρὸς ἕκασΊον τῶν χυμῶν, ὡς ἅπαντας[7] μὲν ἐξ ὕδατος γίνεσθαι, ἄλλον[8] δὲ ἐξ ἄλλου μέρους, καὶ κατὰ τὰς τῶν διαφόρων ὑδάτων πέψεις τε καὶ συσΊάσεις τὴν τῶν χυμῶν διαφορὰν, τῷ εἶναι μὲν ἐν τῷ ὕδατι τὰ πάντων γεννητικὰ τῶν χυμῶν σώματα, οὐ μὴν ἐν πᾶσι ταὐτά, ἀλλ' ἐν μὲν τῷδέ τινι τὰ τούτων, ἐν δὲ τῷδε πάλιν τὰ ἄλλου τινός, καὶ οὕτω γίνεσθαι μὲν τοὺς χυμοὺς ἐκ τοῦ ὕδατος πάντας ὡς[9] ἐξ ὕλης, [ὡς[10]] ἐξ ὧν τὸ ὕδωρ ἐσΊίν,

[1] παντὸς AMBC. — [2] πάντῃ AMBC. — [3] ὀπῶν AC. — [4] om. ABC. — [5] νεῦρα AM pr. BC. — [6] δὴ AMBC. — [7] ἅπαντα AMBC. — [8] ἄλλα AMBC. — [9] om. AMBC. — [10] τῶν AMBC.

---

nia in omnibus mixta esse dicentes, quemadmodum Anaxagoras ex omnium quidem omnia segregatione generat, non tamen ex eadem parte differentia. Ex eadem enim mixtura segregatione quidem ossium et congregatione ad invicem os ait fieri, ea autem que nervorum nervum, sed non ea que ossium nervum. Eodem autem modo et aquam ait materiam esse saporum, non tanquam ex quacumque quemcumque saporem fieri, sed tamquam ex hac hunc[1] secundum ydoneitatem accepte[2] aque ad unumquemque saporem, ita ut omnes quidem ex aqua fiant, alius autem ex alia parte, et secundum differentium aquarum digestiones et consistentiam saporum differentiam, eo quod sint quidem in aqua omnium saporum generativa corpora, non tamen in omnibus eadem, sed in hoc quidem quedam horum, in hoc[3] autem iterum[4] que alicuius alterius[5], et sic fieri quidem sapores ex aqua om-

[1] habent. — [2] accipere. — [3] hac. — [4] qui huius aut *add.* — [5] iterum *add.*

ALEXANDRE D'APHRODISIAS. — 441 a 8-10.

ἐκ τούτων γίνεσθαι τοὺς χυμούς, οὐ μὴν τὸν τυχόντα χυμὸν ἐκ τοῦ τυχόντος ὕδατος τῷ μὴ[1] ἔχειν πᾶν μόριον ὕδατος τὰ πάντων τῶν χυμῶν γεννητικὰ σώματα ἐν αὑτῷ. Εἴη δ' ἂν διὰ τούτων μνημονεύσας τῆς δόξης τῶν περὶ Δημόκριτον, οἳ τὰς ἀτόμους σΊοιχεῖα πάντων ἔθεντο. Ὅτι δὲ ἡ δόξα αὕτη ἄλλη τῆς Ἐμπεδοκλέους δῆλον. Κατὰ μὲν[2] γὰρ τὴν Ἐμπεδοκλέους δόξαν προϋπάρχουσιν ἐνεργείᾳ[3] οἱ χυμοὶ ἐν τῷ ὕδατι· κατὰ δε ταύτην γίνονται[4] κατ' ἐπιτηδειότητα τὴν πρὸς αὐτοὺς τῶν τοῦ ὕδατος μορίων.

441 a 8-10. « ἢ...τις. » Τρίτην προσΊθησι δόξαν ταῖς προειρημέναις, τὴν λέγουσαν τὸ μὲν ὕδωρ αὐτὸ μηδεμίαν ἔχειν διαφορὰν ἐν αὑτῷ, ὡς ἐκ τοῦδε μὲν τοῦ μέρους αὐτοῦ τόνδε γίνεσθαι τὸν χυμόν, ἐκ τοῦδε δὲ ἄλλον, ἀλλ' ὁμοίως παντὸς χυμοῦ ὕλην εἶναι, αὐτὸ δὲ τὸ ποιητικὸν τῶν[5] ἐν τῷ ὕδατι χυμῶν γινομένων καὶ[6] τῆς τῶν ἐν αὐτῷ γινομένων χυμῶν διαφορᾶς αἴτιον γίνεσθαι, οἷον εἴ τις τὸν ἥλιον ἢ ὅλως τὸ θερμὸν

[1] μηδὲ M. — [2] om. ABC. — [3] post χυμοὶ AMC. — [4] καὶ add. AMBC. — [5] τῷ AG. — [6] om. AMBC.

---

nes ut ex materia, tamquam ex quibus aqua est, ex[1] hiis fieri sapores, non tamen quemcumque saporem ex quacumque aqua, eo quod non habeat omnis pars corporis omnium saporum generativa corpora in ipso, non tamen in omnibus eadem. Per hoc recordatur opinionis Democriti, qui indivisibilia corpora elementa omnium posuit. Quod autem opinio ista alia ab ea que Empedoclis palam. Secundum[2] Empedoclis enim opinionem preexistunt actu in aquis, secundum istam autem fiunt secundum ydoneitatem partium aque ad ipsos.

441 a 8-10.] Terciam[3] apponit opinionem aliam a predictis dicentem aquam quidem nullam habere differentiam in se ipsa, ut fiat ex hac quidem parte ipsius iste sapor, ex hac autem alius, sed tamen omnis saporis materiam esse, ipsum autem factivum[4] saporum generatorum in aqua et differentie factorum saporum in ipsa causam[5] fieri,

[1] et. — [2] sed. — [3] tercium. — [4] *répété*. — [5] tamen.

ALEXANDRE D'APHRODISIAS. — 441 a 10-17.

λέγοι ποιητικὸν τῶν χυμῶν. Τῷ γὰρ μᾶλλον ἢ ἧτlον[1] θερμαίνειν καὶ τῇ τῆς θερμότητος διαφορᾷ[2] καὶ τῆς πέψεως τῆς ἀπὸ τῆς θερμότητος γινομένης τὴν τῶν ἐν τῷ ὕδατι χυμῶν[3] διαφορὰν ἀνάπlουσιν.

441 a 10-17. « Τούτων... μεταβάλλοντας. » Εἰς δὲ[4] τὰς προειρημένας δόξας, πρῶτον πρὸς τὸν Ἐμπεδοκλέα ἐνίσlαται καὶ δείκνυσιν αὐτὴν ψευδῆ τε καὶ ἐπιπόλαιον. Εἰ γὰρ ἐν τῷ ὕδατι οἱ χυμοὶ καὶ τῷ ἕλκειν αὐτοὺς τὰ φυτά, οἵτε ἐν τοῖς καρποῖς χυμοὶ καὶ οἱ ἄλλοι, καὶ αἱ διαφοραὶ αὐτῶν ἐν τῷ ἑλκομένῳ ὕδατι καὶ ἀπὸ τούτου, ἔδει, ὅτε μηκέτι[5] ἕλκει τὰ φυτὰ τὸ ὕδωρ, μηκέτι μεταβολὴν τῶν χυμῶν τῶν ἐν τοῖς καρποῖς αὐτῶν γίνεσθαι, ἀλλὰ μένειν αὐτοὺς τοιούτους, ὁποῖοι ἀπὸ τοῦ ὕδατος ἐλήφθησάν τε καὶ εἱλκύσθησαν. Νῦν δὲ ὁρῶμεν μετὰ τὸ ἀφαιρεθῆναι τοὺς καρποὺς ἐκ τῶν φυτῶν καὶ τεθῆναι ἐν τῷ ἡλίῳ, ἀφαιρεθέντων αὐτῶν τῶν σκεπόντων αὐτοὺς περικαρπίων, ὡς ἐπὶ τῶν καρύων, πλείσlην αὐτοὺς μεταβολὴν[6] ἐν τῷ θερμαίνεσθαι λαμβάνοντας.

[1] τῷ add. AMBC. — [2] διαφορᾶς A. — [3] om. AC. — [4] δὴ AMBC. — [5] μὴ ABC. — [6] μεταβολῶν A.

---

puta si quis solem aut totaliter calidum dicat factivum saporum. Per magis enim et minus calefacere et differentia caliditatis et digestionis facta a caliditate, differentiam saporum in aqua assignant.

441 a 10-17.] Ad predictas autem opiniones, primo ad eam que Empedoclis instat et ostendit ipsam falsam et superficialem. Si enim in aqua sapores et eo quod trahunt ipsos plante, qui[1] in fructibus sapores et alii, et differentie ipsorum in tracta[2] aqua et ab hac, oportebat, quando non trahunt plante aquam, non adhuc permutationem[3] saporum in[4] fructibus ipsis fieri, sed manere ipsos tales, quales ab aqua tracti[5] sunt et accepti. Nunc autem videmus, postquam ablati fuerint fructus a plantis, eo quod ponantur in sole[6], ablatis operculis fructuum, ut in nucibus, plurimam permutationem in[7] calefieri ipsos

[1] qui. — [2] tacta. — [3] permutatio est. — [4] et. — [5] tacti. — [6] solis. — [7] etiam.

ALEXANDRE D'APHRODISIAS. — 441 a 10-17.

Καὶ τὸ « ἀλλ' ἐν αὐτῷ τῷ περικαρπίῳ μεταβάλλοντας » ἴσον ἂν εἴη τῷ[1] « ἀλλὰ κατὰ[2] τὴν τοῦ περικαρπίου μονήν τε καὶ ἀφαίρεσιν ἀλλασσομένους ἢ μεταβάλλοντας ἐν τούτῳ καὶ γινομένους ὁποῖοί εἰσιν. » Οὗ σημεῖον τὸ, περιαιρεθέντων αὐτῶν, μεταβάλλειν κατὰ τοὺς χυμοὺς αὐτὰ δύνασθαι[3]. Ἀλλὰ[4] καὶ τὸ « ἀφαιρουμένων τῶν περικαρπίων » εἴρηκεν[5] ἀντὶ τοῦ « τῶν καρπῶν ἀφαιρουμένων ἀπὸ τῶν φυτῶν, » οἳ ἀφαιροῦνται τῷ τὰ ἐν οἷς εἰσιν ἀφαιρεθῆναι. Εἰσὶ δὲ ἐν τοῖς περικαρπίοις ἄπεπτά τέ τινα καὶ πικρά, ἃ ἀφαιρεθέντα μείναντά τινα χρόνον πέσσεταί τε καὶ ἐδώδιμα γίνεται, ὡς τοῦ ὄντος ἐν αὐτοῖς ὑγροῦ μεταβάλλοντος κατὰ τοὺς χυμούς, ἀλλ' οὐκ ἐκ τοῦ ἐκτὸς ὕδατος τῶν χυμῶν †σπωμένου[6]. Ἀλλὰ καὶ ἀπὸ τῶν καρπῶν διακριθέντες καὶ χωρισθέντες οἱ† χυμοὶ[7], ὡς ἀπὸ τῶν σταφυλῶν ὁ οἶνος καὶ τὸ ἔλαιον ἀπὸ τῶν ἐλαῶν, πολλὰς[8] ἴσχουσι διαφορὰς κατὰ τοὺς χυμοὺς καὶ μεταβολάς. Ἐξ ὧν δῆλον ὅτι μὴ ἐν[9] τῷ ἀπὸ τοῦ ὕδατος αὐτοὺς ἐγγίνεσθαι ἐνυπάρχοντος† αὐτῷ[10] ἐνερ-

[1] om. AMC. — [2] om. ABC. — [3] δύναται AMBC. — [4] del. B. — [5] εἰρηκέναι corr. B. — [6] Lisez σπωμένων. — [7] Lisez χυλοί. — [8] πολλὰ AM. — [9] om. AMBC. — [10] del. M. Lisez αὐτοῖς.

---

accipientes. Et hoc « sed in ipso pericarpio permutantes[1] » equale utique erit « . . . . . . circa fructifieri mansionem et ablationem sed salvatos et permutatos hoc factos quales sunt. » Cuius signum quod, circumablatis ipsis, permutare secundum[2] sapores ipsi possunt. Sed[3] et « ablatis pericarpiis » dixit loco huius « fructibus ablatis a plantis[4] » qui auferuntur eo quod ea in quibus sunt auferuntur. Sunt autem in pericarpiis indigesta quedam et amara,*** ablata manentia aliquo tempore digeruntur et esibilia fiunt, tamquam humido quod est in ipsis permutato secundum sapores, sed non ex aqua[5] extrinseca tracta[6] a saporibus. Sed a fructibus digregati[7]*** separati[8] sapores, sicut ab uvis vinum et oleum ab olivis, multas habent differentias secundum sapores et permutationes. Ex quibus palam quod non ha-

[1] permutante. — [2] sed. — [3] *post* et. — [4] saporibus. — [5] aliqua. — [6] tacta. — [7] digregato. — [8] separato.

γεία τὴν οὐσίαν ἔχουσι[1]. Ἀλλὰ καὶ ἑψόμενοι οἱ χυμοὶ παντοδαποὶ γίνονται· καίτοι γε οὐκέτι[2] ἐπισπῶνται ἐκ τοῦ ὕδατος. Οὕτως ἑψόμενος ὁ οἶνος καὶ τὰ ἄλλα τοὺς χυμοὺς ἐν τῇ ἑψήσει παντοδαποὺς ἔσlιν ὅτε ἔχει. (441 a 18-20. « Ὁμοίως... χυμούς. ») Εἰπὼν δὲ ταῦτα πρὸς τὴν δόξαν τὴν Ἐμπεδοκλέους, ὁμοίως τούτῳ φησὶν ἀδύνατον καὶ τὸ πανσπερμίας ὕλην εἶναι τὸ ὕδωρ τῷ ἐξ ἄλλου μορίου αὐτοῦ[3] ἄλλον γίνεσθαι χυμόν. Ὁρῶμεν γὰρ ὅτι ἐκ τοῦ αὐτοῦ ὕδατος διαφέροντες χυμοὶ γίνονται, ὥσπερ καὶ ἐκ τῆς αὐτῆς τροφῆς διαφέροντα σώματα· καὶ γὰρ νεῦρον καὶ ὀσlοῦν καὶ σάρξ καὶ φλέψ. Καὶ γὰρ τῷ τὰ λαμβάνοντα τὸ ὕδωρ διαφέρειν διαφέρουσιν[4] ἀλλήλων, ὡς τὰ[5] φυτὰ ἐγγὺς ἀλλήλων ὄντα, εἰ τὸ μὲν εἴη ἄμπελος, τὸ δὲ συκῆ, τὸ δὲ ἐλαία, τὸ δὲ ἄλλο τι· ἀλλὰ καὶ ἐν ἑκάσlῳ φυτῷ δῆλον[6] ἄλλον μὲν χυμὸν[7] εἶναι[8] τοῦ φύλλου, ἄλλον δὲ τοῦ περικαρπίου, καὶ αὐτοῦ τούτου ἄλλον μὲν ὄντος ἀπέπlου, ἄλλον δὲ πεπεμμένου. Ἀλλὰ καὶ ὅλως πλασματώδης ἡ δόξα καὶ οὐδὲν πιθανὸν ἔχουσα.

[1] ἐχουσῶν AMBC. — [2] οὐκ AMBC. — [3] αὐτῶν AMBC. — [4] om. AMBC. — [5] om. AC. — [6] om. AMBC. — [7] om. AC. — [8] om. AMBC.

---

